*φοιτάω* = *πολλάκις ἐκεῖσε ἔρχομαι καὶ ἐκεῖθεν ἐπανέρχομαι*

*σφόδρα* = *μάλιστα*

*πυνθάνομαι* = *μανθάνω, ἀκούω*

*τραχύς* ↔ *ἡδύς, ἁπαλός*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) νῦν ταύτην τὴν [desire] …………………… ἔχω, τοῖς ἐμοῖς φίλοις [to be with]

…………………… .

β) The children *go frequently* to school through a *rough* road.

………………………………………………………………………………………..

γ) εἴδομεν [many] …………………… ἀνθρώπους [strongly] …………………… ἀμφισβητοῦντας.

δ) I *got to know* that his flowers *had faded.*

………………………………………………………………………………………..

ε) δεῖ τοὺς ξένους [welcome] …………………… .

ζ) He *goes frequently* to Athens.

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to go forward | ……………………… | to enjoy | ……………………… |
| to travel | ……………………… | easy | ……………………… |
| to know | ……………………… | strength | ……………………… |

## Μελέτημα 3

**Lysias, in *Against Agoratus*, presents to the judges the reasons why he is taking part in this trial:**

*Προσήκει* μέν, ὦ ἄνδρες δικασταί, πᾶσιν ὑμῖν *τιμωρεῖν* ὑπὲρ τῶν ἀνδρῶν οἳ ἀπέθανον *εὖνοι* ὄντες τῷ *πλήθει* τῷ ὑμετέρῳ, προσήκει δὲ κἀμοὶ οὐχ *ἥκιστα· κηδεστὴς* γάρ μοι ἦν Διονυσόδωρος καὶ *ἀνέψιος.* τυγχάνει οὖν ἐμοὶ ἡ αὐτὴ *ἔχθρα* πρὸς Ἀγόρατον τουτονὶ καὶ τῷ πλήθει τῷ ὑμετέρῳ *ὑπάρχουσα·* ἔπραξε γὰρ οὗτος τοιαῦτα, δι᾽ ἃ ὑπ᾽ ἐμοῦ νυνὶ *εἰκότως μισεῖται*, ὑπό τε ὑμῶν, ἐὰν θεὸς θέλῃ, δικαίως τιμωρηθήσεται.

*προσήκει* = *πρέπει, δεῖ*
*τιμωρῶ ὑπὲρ αὐτοῦ* = *κολάζω τοὺς αὐτὸν ἀποκτείναντας*
*πλῆθος* = *οἱ πολῖται, ὁ δῆμος, οἱ πλεῖστοι*
*ἥκιστα* ↔ *μάλιστα*
*κηδεστής* = *ἀδελφὸς τῆς γυναικός*
*ἀνέψιος* = *υἱὸς ἀδελφοῦ τινος τοῦ πατρός*
*ἔχθρα* ↔ *φιλία*
*ὑπάρχει* = *πάρεστιν, τυγχάνει ὤν/οὖσα*
*εἰκότως* = *οὕτως ὡς ἡ φύσις κελεύει*
*μισέω* ↔ *φιλέω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ὁ λόγος "οἰκάτα" οὐ [exists] …………………… ἐν ταύτῃ τῇ γλώττῃ.

β) *As it seems,* they *hate* him.

……………………………………………………………………………………..

γ) [Not at all] …………………… βούλομαι τοῦτο [to the crowd] …………………… λέγειν.

δ) I decided *to avenge* my *brother in law.*

……………………………………………………………………………………..

ε) ἆρα τί [is convenient] …………………… τῷ ἐμῷ [cousin] …………………… νῦν ποιεῖν;

ζ) I see *enmity* in his eyes.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to happen to | ……………………… | judge | ……………………… |
| to die | ……………………… | fair | ……………………… |
| such | ……………………… | to do | ……………………… |

## Μελέτημα 4

**A friend of Socrates tells him very excitedly about Protagoras' arrival to the city:**

Τῆς *παρελθούσης* νυκτὸς ταυτησί, ἔτι βαθέος *ὄρθρου*, Ἱπποκράτης ὁ Ἀπολλοδώρου υἱός, Φάσωνος δὲ ἀδελφός, τὴν θύραν τῇ βακτηρίᾳ πάνυ *σφόδρα ἔκρουε*, καὶ ἐπειδὴ αὐτῷ *ἀνέῳξέ* τις, εὐθὺς εἴσω ᾔει *ἐπειγόμενος*, καὶ τῇ φωνῇ μέγα λέγων Ὦ Σώκρατες, ἔφη, *ἐγρήγορας* ἢ καθεύδεις; καὶ ἐγὼ τὴν φωνὴν γνοὺς αὐτοῦ, Ἱπποκράτης, ἔφην, οὗτος. μή τι νεώτερον ἀγγέλλεις; Οὐδέν γ', ἦ δ' ὅς, εἰ μὴ ἀγαθά γε. Εὖ ἂν λέγοις, ἦν δ' ἐγώ· ἔστι δὲ τί, καὶ τοῦ ἕνεκα *τηνικάδε* ἀφίκου; Πρωταγόρας, ἔφη, *ἥκει*, στὰς παρ' ἐμοί. *Πρῴην*, ἔφην ἐγώ· σὺ δὲ ἄρτι πέπυσαι;

*ἡ παρελθοῦσα ἡμέρα* = *ἡ προτεραία ἡμέρα*

*ὄρθρος* = *τὸ πρῶτον τῆς ἡμέρας μέρος*

*σφόδρα* = *καρτερῶς, μάλιστα*

*κρούω* = *κόπτω, τύπτω*

*ἀνοίγνυμι* ↔ *κλείω*

*ἐπείγω* = *ἐποτρύνω, παρορμάω*

*ἐγείρω* ↔ *καθεύδω*

*τηνικάδε* = *δεῦρο* ↔ *ἐκεῖσε*

*ἥκω* = *ἀφικόμενος ἐνθάδε πάρειμι*

*πρῴην, χθές, τήμερον, αὔριον ...*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ἆρα ἤδη [has he arrived and is here] ........................ ; ναί, [at first light]

........................ .

β) *They opened* the door and went in quickly *very excited.*

....................................................................................................

γ) ὁ μὲν παῖς οὐκέτι [is awake] ........................ , ἐγὼ δὲ βούλομαι αὐτὸν [here]

........................ ἐλθεῖν.

δ) He read this book *before yesterday.*

....................................................................................................

ε) [The day before] ........................ ὁ ᾽Αχιλλεὺς τρεῖς στρατιώτας ἀπέκτεινεν.

ζ) He *hit* him *strongly* with a stone.

....................................................................................................

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| very | .......................... | brother | .......................... |
| voice | .......................... | because of | .......................... |
| by | .......................... | deep | .......................... |

## Μελέτημα 5

**Demosthenes presents the advantages and disadvantages of taking some action now, because allowing Philippos to get too much power would be dangerous:**

Εἰ δέ *τῳ* δοκεῖ ταῦτα καὶ *δαπάνης* μεγάλης καὶ πόνων πολλῶν καὶ *πραγματείας* εἶναι, καὶ μάλ' ὀρθῶς δοκεῖ· ἀλλ' ἐὰν *λογίσηται* τὰ τῇ πόλει μετὰ ταῦτα γενησόμενα, ἂν ταῦτα μὴ θέλῃ, εὑρήσει *λυσιτελοῦν* τὸ *ἑκόντας* ποιεῖν τὰ δέοντα. [...] εἰ δὲ μηδενὶ τοῦτο δοκεῖ, τοὐναντίον δὲ *προΐσμεν* ἅπαντες ὅτι, ὅσῳ ἂν πλειόνων ἐάσωμεν ἐκεῖνον γενέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ *ἰσχυροτέρῳ* χρησόμεθ' *ἐχθρῷ*, ποῖ *ἀναδυόμεθα*;

*τῳ* = *τινί*
*δαπάνη* = *τὰ χρήματα ἃ ἀναλίσκομεν*
*πραγματεία* = *ἐργασία, πόνος*
*λογίζομαι* = *νομίζω, ἀριθμέω*
*λυσιτελέω* = *χρήσιμός εἰμί*
*ἑκών* ↔ *ἄκων*
*προοῖδα* < *προ-οἶδα*
*ἰσχυρός* = *καρτερός, δυνατός*
*ἐχθρός* ↔ *φίλος*
*ἀναδύομαι* = *τὸν κίνδυνον φεύγω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ἤδη τοῦτο [I knew in advance] …………………… , ὅμως δὲ αὖθις [calculated]

…………………… πάντα.

β) They will go *willingly*, they are friends, not *enemies*.

……………………………………………………………………………………..

γ) εἰ τοῦτό [to somebody] …………………… λέγεις, μῶρος εἶ.

δ) They made a big *expense* in Athens.

……………………………………………………………………………………..

ε) τὸ μανθάνειν ἀεὶ [is beneficial] …………………… , οὐδέποτε [a toil] ……………………

ἐστίν.

ζ) Being *strong*, she could *escape the danger*.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| master | ……………………… | duty | ……………………… |
| opposite | ……………………… | toil | ……………………… |
| strong | ……………………… | to be willing | ……………………… |

## Μελέτημα 6

**Gorgias, in his *Encomium of Helen*, tries to make us pity her rather than consider her guilty:**

Εἰ δὲ βίᾳ ἡρπάσθη καὶ ἀνόμως *ἐβιάσθη* καὶ ἀδίκως ὑβρίσθη, δῆλον ὅτι ὁ ἁρπάσας ὴ̔ ὑβρίσας ἠδίκησεν, ἡ δὲ ἁρπασθεῖσα ὴ̔ ὑβρισθεῖσα *ἐδυστύχησεν*. ἄξιος οὖν ὁ μὲν *ἐπιχειρήσας* βάρβαρος βάρβαρον *ἐπιχείρημα* καὶ λόγῳ καὶ νόμῳ καὶ ἔργῳ λόγῳ μὲν αἰτίας, νόμῳ δὲ ἀτιμίας, ἔργῳ δὲ *ζημίας τυχεῖν*· ἡ δὲ βιασθεῖσα καὶ τῆς πατρίδος στερηθεῖσα καὶ τῶν φίλων *ὀρφανισθεῖσα* πῶς οὐκ ἂν εἰκότως *ἐλεηθείη* μᾶλλον ὴ̔ *κακολογηθείη*; ὁ μὲν γὰρ *ἔδρασε* δεινά, ἡ δὲ ἔπαθε.

*βιάζω* = *βίᾳ χρῶμαι*

*δυστυχέω* ↔ *εὐτυχέω*

*ἐπιχειρέω* = *πειρῶ ποιεῖν, ἄρχομαι*

*ἐπιχείρημα* = *τοῦτο ὃ ἐπιχειρῶ*

*ζημία* ↔ *δῶρον*

*τυγχάνω τούτου* = *κτῶμαι τοῦτο, δέχομαι τοῦτο*

*ὀρφανίζω σε* = *τοὺς γονέας σου ἀποκτείνω*

*ἐλεέω σε* = *νομίζω σε κακοδαίμονα εἶναι*

*κακολογέω* = *κακὰ λέγω (περί τινος)*

*δράω* = *ποιέω, πράττω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) αὐτὸν [they pitied] ……………………. , μεγάλην γὰρ [fine] ……………………. ἐδέξατο.

β) They are always *insulting* him because he *did* that.

……………………………………………………………………………………………..

γ) ὁ βασιλεὺς βούλεται τοῦτον τὸν πόλεμον [to attempt] …………………….  .

δ) In this *enterprise*, he was *unlucky*.

……………………………………………………………………………………………..

ε) οἱ πολέμιοι [treated violently] ……………………. τοὺς πολίτας, πολλοὶ δὲ τούτων [were made orphans] …………………….  .

ζ) The arrow did not hit the centre.

……………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| dishonour | ……………………… | homeland | ……………………… |
| to deprive of | ……………………… | force | ……………………… |
| illegal | ……………………… | to offend | ……………………… |

## Μελέτημα 7

**Socrates, in his defence, says that, rather than being sentenced, he should be rewarded for what he has done, and he recalls the tradition of feeding benefactors of the city free of charge in the Prytaneion:**

τί οὖν πρέπει ἀνδρὶ πένητι *εὐεργέτῃ, δεομένῳ* ἄγειν σχολὴν ἐπὶ τῇ ὑμετέρᾳ *παρακελεύσει*; οὐκ ἔσθ' ὅ τι μᾶλλον, ὦ ἄνδρες Ἀθηναῖοι, πρέπει, ὡς τὸν τοιοῦτον ἄνδρα ἐν πρυτανείῳ *σιτεῖσθαι*, πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν ἵππῳ ἢ *συνωρίδι* ἢ *ζεύγει* νενίκηκεν Ὀλυμπίασιν. ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν εἶναι, ἐγὼ δὲ [ὑμᾶς ποιῶ εὐδαίμονας] εἶναι· καὶ ὁ μὲν *τροφῆς* οὐδὲν δεῖται, ἐγὼ δὲ δέομαι. εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, ἐν πρυτανείῳ *σιτήσεως.* ἴσως οὖν ὑμῖν καὶ ταυτὶ λέγων *παραπλησίως* δοκῶ λέγειν ὥσπερ περὶ ... , *ἀπαυθαδιζόμενος.*

*εὐεργέτης* = *ὃς πρὸς τοὺς ἄλλους εὖ ἐργάζεται*
*δέομαι τοῦτο ποιεῖν* = *ἀναγκαῖόν ἐστί μοι τοῦτο ποιεῖν*
*παρακέλευσις* = *παιδεία, δίδαξις*
*σιτέω αὐτόν* = *σῖτον δίδωμι αὐτῷ, τρέφω αὐτόν*
*συνορίς* = *ἅρμα δυοῖν ἱπποῖν*
*ζεῦγος* = *ἅρμα τεττάρων ἵππων*
*τροφή* < *τρέφω, σῖτος*
*σίτησις* < *σιτέω*
*παραπλήσιος* ↔ *διάφορος*
*ἀπαυθαδίζομαι* = *ὑβριστικῶς λέγω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τὸ μανθάνειν, ὃ [similar] ……………………. ἐστι τῷ διδάσκειν, [food] ……………………. τῆς ψυχῆς ἐστιν.

β) The ambassadors *spoke with arrogance* to the king, a man *benefactor* to the citizens.

…………………………………………………………………………………………..

γ) διὰ τῆς [teaching] ……………………. τούτου τοῦ διδασκάλου, ὃς [chariot of two horses] ……………………. ἐλαύνων ἀφίκετο, πολλὰ μανθάνομεν.

δ) The father *fed* him every day.

…………………………………………………………………………………………..

ε) διὰ τῆς τῶν αἰχμαλώτων [feeding] ……………………. ἔνδοξος ἐγένετο παρὰ αὐτοῖς.

ζ) He *needed* to go to Athens as quickly as possible *with a chariot of four horses.*

…………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| than | ……………………… | to need | ……………………… |
| to seem | ……………………… | it is necessary | ……………………… |
| poor | ……………………… | leisure | ……………………… |

## Μελέτημα 8

**Thucydices describes what the Athenians were doing and how the Syracusans react at the arrival of some news:**

οἱ δὲ [Ἀθηναῖοι] πρὸς τὰ ἐν τῇ Σικελίᾳ πράγματα ἐσκόπουν ὅτῳ τρόπῳ ἄριστα *προσοίσονται·* καὶ τὰς *πρόπλους* ναῦς ἐκ τῆς Ἐγέστης ἅμα *προσέμενον*, βουλόμενοι εἰδέναι περὶ τῶν χρημάτων εἰ ἔστιν ἃ ἔλεγον ἐν ταῖς Ἀθήναις οἱ ἄγγελοι. τοῖς δὲ Συρακοσίοις ἐν τούτῳ *πολλαχόθεν* τε ἤδη καὶ ἀπὸ τῶν *κατασκόπων* σαφῆ ἠγγέλλετο ὅτι ἐν Ῥηγίῳ αἱ νῆές εἰσι, καὶ ὡς ἐπὶ τούτοις παρεσκευάζοντο πάσῃ τῇ *γνώμῃ* καὶ οὐκέτι ἠπίστουν. καὶ εἴς τε τοὺς Σικελοὺς *περιέπεμπον*, ἔνθα μὲν φύλακας, πρὸς δὲ τοὺς πρέσβεις, καὶ εἰς τὰ *περιπόλια* τὰ ἐν τῇ χώρᾳ *φρουρὰς εἰσεκόμιζον*

*προσφέρω* = *ποιέω, πράττω*
*πρόπλους* = *ναῦς ἣ πρὸ τῶν ἄλλων πέμπεται*
*προσμένω* = *μένω*
*πολλαχόθεν* = *ἀπὸ πολλῶν τόπων*
*κατάσκοπος* = *στρατιώτης ὃς τοὺς πολεμίους λάθρᾳ θεᾶται*
*γνώμη* = *βούλευμα*
*περιπέμπω* = *πέμπω πρὸς πολλοὺς τόπους*
*περιπόλιον* = *στρατόπεδον ἔξω τῆς πόλεως κείμενον*
*φρουρά* = *στρατιῶται οἳ τὸ στρατόπεδον φυλάττουσιν*
*εἰσκομίζω* = *εἰσφέρω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) πάντες [were waiting] ……………………. τρεῖς ἡμέρας ἕως [the garrison] …………………….

ἀφίκετο.

β) The *spies* were caught by our guards.

……………………………………………………………………………………..

γ) ἡ τῆς βουλῆς [plan] ……………………. ἦν τὰ [outside camps] ……………………. διαφθείρειν.

δ) They *brought* food *in from everywhere.*

……………………………………………………………………………………..

ε) [They sent around] ……………………. πέντε [advanced] ……………………. ναῦς ἐπὶ τῶν

νήσων.

ζ) How could we *do* this without money?

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| money | ……………………… | matter | ……………………… |
| to know | ……………………… | not to trust | ……………………… |
| to look at | ……………………… | method | ……………………… |

## Μελέτημα 9

**In a trial for murder, Antiphon makes clear to the jury that the defendant is the killer, as he had real motives, especially the result of former trials with the killed person:**

*Ἀπολυομένης* δὲ τῆς *ὑποψίας* ἁπάσης, αὐτὸς ὁ θάνατος ἐξ *ἐπιβουλῆς* ἀποθανόντα *μηνύει* αὐτόν. *ἐπιθέσθαι* δὲ τίνα μᾶλλον εἰκός ἐστιν ἢ τὸν μεγάλα μὲν κακὰ *προπεπονθότα*, ἔτι δὲ μείζονα *ἐπίδοξον* ὄντα πάσχειν; ἔστι δ' ὁ διωκόμενος οὗτος· ἐκ παλαιοῦ γὰρ ἐχθρὸς ὢν αὐτοῦ πολλὰς μὲν καὶ μεγάλας γραφὰς διώξας οὐδεμίαν *εἷλεν*, ἔτι δὲ μείζους καὶ πλείους διωχθεὶς οὐδεπώποτ' ἀποφυγὼν *ἱκανὸν* μέρος τῶν ὄντων *ἀποβέβληκεν.*

*ἀπολύω* = *ἐκβάλλω, οὐ βούλομαι τοῦτο*
*ὑποψία* < *ὑποπτεύω* = *νομίζω τι ἀληθὲς εἶναι*
*ἐπιβουλή* = *κακὸν βούλευμα ἐπί τινα*
*μηνύω* = *δείκνυμι, δηλόω*
*ἐπιτίθεμαι* = *προσβάλλω, ἐπιβάλλω*
*προπάσχω* = *πάσχω τι πρὸ ἄλλων γενομένων*
*ἐπίδοξός εἰμι γράφειν* = *πάντες αἰσθάνονται με γράφοντα*
*αἱρέω τοῦτο* = *νικάω ἐν τούτῳ, κτάομαι τοῦτο*
*ἱκανός* = *μέγιστος*
*ἀποβάλλω* ↔ *κτάομαι*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) [A big] ……………………. μέρος τῶν κτημάτων [he lost] …………………….  .

β) They *attacked* him because of the *suspicion*.

……………………………………………………………………………………..

γ) πρὸ τούτου [a conspiracy] ……………………. [he suffered previously] …………………….  .

δ) They *ruled out* this plan.

……………………………………………………………………………………..

ε) τοῦτο [indicates] ……………………. σὲ νικήσοντα.

ζ) It's probable that he will obtain this.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to pursue | ……………………… | evident | ……………………… |
| enough | ……………………… | suit (judicial) | ……………………… |
| part | ……………………… | larger | ……………………… |

## Μελέτημα 10

**In this judicial speech from Lysias, the defendant complains that, if the unfair execution of two innocent people was something horrible, the current state of their children is even worse, as nothing is left for them:**

Ἐνθυμεῖσθε οὖν ὅτι Νικόφημος καὶ Ἀριστοφάνης *ἄκριτοι* ἀπέθανον, πρὶν παραγενέσθαι τινὰ αὐτοῖς *ἐλεγχομένοις* ὡς ἠδίκουν. οὐδεὶς γὰρ οὐδ' εἶδεν ἐκείνους μετὰ τὴν *σύλληψιν*· οὐδὲ γὰρ *θάψαι* τὰ σώματ' αὐτῶν ἀπέδοσαν, ἀλλ' οὕτω δεινὴ ἡ συμφορὰ γεγένηται ὥστε πρὸς τοῖς ἄλλοις καὶ τούτου *ἐστέρηνται*. ἀλλὰ ταῦτα μὲν ἐάσω· οὐδὲν γὰρ ἂν *περαίνοιμι*· πολὺ δὲ *ἀθλιώτεροι* δοκοῦσί μοι οἱ παῖδες οἱ Ἀριστοφάνους· οὐδένα γὰρ οὔτ' ἰδίᾳ οὔτε δημοσίᾳ ἠδικηκότες οὐ μόνον τὰ πατρῷα ἀπολωλέκασιν ἀλλὰ καὶ ἡ *ὑπόλοιπος* ἐλπὶς ἦν, ἀπὸ τῶν τοῦ *πάππου* ἐκτραφῆναι, ἐν οὕτω δεινῷ καθέστηκεν.

*ἄκριτος* = *ἄνευ δικαίας δίκης*
*ἐλέγχω* = *ἐρωτάω, ἐξετάζω*
*σύλληψις* < *συλλαμβάνω* = *βίᾳ αἱρέω*
*θάπτω* = *εἰς τὴν γῆν τίθημι*
*στερέω τούτου* ↔ *δίδωμι τοῦτο*
*περαίνω* = *κτάομαι, διατελέω, κέρδος δέχομαι*
*ἄθλιος* ↔ *εὐτυχής*
*ὑπόλοιπος, -ος, -ον* = *ὃς ἔτι μένει*
*πάππος* = *ὁ τοῦ πατρὸς πατήρ*
*ἐκτρέφω* = *τρέφω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) [The grandfather] ……………………. οἱ οἰκεῖοι [feed] …………………….  .

β) They *buried* him, an *ill-fated* man.

……………………………………………………………………………………..

γ) διὰ τῆς [arrest] ……………………. ἐβούλοντο αὐτὸν [cross-question] …………………….  .

δ) The judges condemned him *without trial.*

……………………………………………………………………………………..

ε) [They deprived] ……………………. αὐτὸν τῶν [remaining] ……………………. χρημάτων.

ζ) By doing this, you *will achieve* nothing.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| public | ……………………… | to see | ……………………… |
| to give back | ……………………… | without trial | ……………………… |
| to think | ……………………… | private | ……………………… |

## Μελέτημα 11

**Apollodorus tells us about the seventh labour of Heracles, and he makes some comments about the different versions on where that bull came from:**

Ἕβδομον *ἐπέταξεν* ἆθλον τὸν *Κρῆτα* ἀγαγεῖν ταῦρον. τοῦτον Ἀκουσίλαος μὲν εἶναί φησι τὸν *διαπορθμεύσαντα* Εὐρώπην Διί, τινὲς δὲ τὸν ὑπὸ Ποσειδῶνος *ἀναδοθέντα* ἐκ θαλάσσης, ὅτε *καταθύσειν* Ποσειδῶνι Μίνως εἶπε τὸ *φανὲν* ἐκ τῆς θαλάσσης. καί φασι θεασάμενον αὐτὸν τοῦ ταύρου τὸ κάλλος τοῦτον μὲν εἰς τὰ *βουκόλια* ἀποπέμψαι, θῦσαι δὲ ἄλλον Ποσειδῶνι· ἐφ᾽ οἷς ὀργισθέντα τὸν θεὸν *ἀγριῶσαι* τὸν ταῦρον. ἐπὶ τοῦτο *παραγενόμενος* εἰς Κρήτην Ἡρακλῆς ... λαβὼν καὶ πρὸς Εὐρυσθέα *διακομίσας* ἔδειξεν.

*ἐπιτάττω* = *κελεύω, ἐν ταῖς ἄλλου τινὸς χερσὶ τίθημι*
*Κρής, Κρήτος* = *Κρητικός, ἐκ τῆς Κρήτης*
*διαπορθμεύω* = *φέρω διὰ τῆς θαλάττης*
*ἀναδίδωμι* = *δίδωμι ἔνδοθεν εἰς τὸ ἔξω, ἐξιέναι ποιῶ*
*καταθύω* = *θύω*
*φαίνομαι* ↔ *ἀφανίζομαι*
*βουκόλιον* = *ἀγέλη βοῶν*
*ἀγριόω σε* = *ἄγριόν σε ποιῶ*
*παραγίγνομαι* = *ἀφικνέομαι*
*διακομίζω* = *φέρω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) [Having transported] …………………… τὰς βίβλους διὰ τῆς θαλάττης, αἱ γυναῖκες

[appeared] …………………… ἐν τῇ πόλει.

β) *After arriving,* the wolf *made* the dog *angry.*

……………………………………………………………………………..

γ) ὁ ποιμὴν [brought] …………………… [the herd of oxen] …………………… εἰς τὸν

σταθμόν.

δ) Poseidon *sent upwards* a monster from beneath the sea.

……………………………………………………………………………..

ε) [They ordered] …………………… αὐτῷ τοῖς θεοῖς [to make a sacrifice] ………………… .

ζ) I fought with the *Cretan* monster.

……………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to sacrifice | ……………………… | to observe | ……………………… |
| to send back | ……………………… | beauty | ……………………… |
| when | ……………………… | prize | ……………………… |

## Μελέτημα 12

**Antiphon tells us why murder crimes must deserve full attention, and tells us about the origin of mankind:**

Νενόμισται μὲν ὀρθῶς τὰς *φονικὰς* δίκας περὶ πλείστου τοὺς κρίνοντας ποιεῖσθαι διώκειν τε καὶ μαρτυρεῖν κατὰ τὸ δίκαιον, μήτε τοὺς *ἐνόχους ἀφιέντας* μήτε τοὺς *καθαροὺς* εἰς ἀγῶνα καθιστάντας. ὅ τε γὰρ θεὸς βουλόμενος ποιῆσαι τὸ ἀνθρώπινον *φῦλον* τοὺς πρῶτον γενομένους *ἔφυσεν* ἡμῶν, *τροφέας* τε παρέδωκε τὴν γῆν καὶ τὴν θάλασσαν, ἵνα μὴ *σπάνει* τῶν ἀναγκαίων προαποθνῄσκοιμεν τῆς γηραιοῦ τελευτῆς. Ὅστις οὖν, τούτων ὑπὸ τοῦ θεοῦ *ἀξιωθέντος* τοῦ βίου ἡμῶν, ἀνόμως τινὰ ἀποκτείνει, ἀσεβεῖ μὲν περὶ τοὺς θεούς, *συγχεῖ* δὲ τὰ νόμιμα τῶν ἀνθρώπων.

*φονικός* = *περὶ φόνου, περὶ θανάτου*
*ἔνοχος* = *αἴτιος*
*ἀφίημι* = *ἐλευθερόω*
*καθαρός* = *ἀναίτιος* ↔ *αἴτιος*
*φῦλον* = *γένος*
*φύω* = *τίκτω, ποιέω*
*τροφεύς, -έως* = *ὃς τρέφει, ὃς σῖτον παρέχει*
*σπάνις, -εως* ↔ *εὐπορία, ἀφθονία*
*ἀξιόω τοῦτο τιμῆς* = *νομίζω τοῦτο ἄξιον εἶναι τιμῆς*
*συγχέω* = *ταράττω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ὁ θεός, πολλοὺς παῖδας [having produced] ……………………. , αὐτοὺς [let go] ……………………. .

β) Prometheus gave fire to the human *race*.

…………………………………………………………………………………………..

γ) μὴ [mix] ……………………. τὰ κελεύσματα, ἴσως γὰρ [because of lack] ……………………. συντάξεως ἀποθανοῦμεν.

δ) I *considered* him *worthy* of trial *for murder*.

…………………………………………………………………………………………..

ε) αὐτὸν [guilty] ……………………. νομίζουσιν, καὶ εἰ [foster-father] ……………………. τοσούτων παιδῶν ἦν.

ζ) They were not guilty, they were *innocent*.

…………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to testify | ……………………… | to consider | ……………………… |
| to set | ……………………… | old | ……………………… |
| end | ……………………… | to judge | ……………………… |

## Μελέτημα 13

**Gylippos tries to form a navy, and Hermocrates helps him to persuade the citizens, telling them several reasons why they should not be afraid of facing the Athenians:**

Ἐν δὲ τῇ Σικελίᾳ ὑπὸ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ *ἦρος* καὶ ὁ Γύλιππος ἧκεν ἐς τὰς Συρακούσας, ἄγων ἀπὸ τῶν πόλεων ὧν ἔπεισε στρατιὰν ὅσην *ἑκασταχόθεν* πλείστην ἐδύνατο. καὶ συγκαλέσας τοὺς Συρακοσίους ἔφη χρῆναι *πληροῦν* ναῦς ὡς δύνανται πλείστας καὶ ναυμαχίας *ἀπόπειραν* λαμβάνειν· ἐλπίζειν γὰρ ἀπ' αὐτοῦ τι ἔργον ἄξιον τοῦ κινδύνου ἐς τὸν πόλεμον *κατεργάσεσθαι*. *συνανέπειθε* δὲ καὶ ὁ Ἑρμοκράτης οὐχ ἥκιστα τοῦ ταῖς ναυσὶ μὴ ἀθυμεῖν *ἐπιχειρῆσαι* πρὸς τοὺς Ἀθηναίους, λέγων οὐδ' ἐκείνους πάτριον τὴν ἐμπειρίαν οὐδ' *ἀίδιον* τῆς θαλάσσης ἔχειν, ἀλλ' *ἠπειρώτας* μᾶλλον τῶν Συρακοσίων ὄντας καὶ ἀναγκασθέντας ὑπὸ Μήδων ναυτικοὺς γενέσθαι. καὶ πρὸς ἄνδρας τολμηρούς, οἵους καὶ Ἀθηναίους, τοὺς *ἀντιτολμῶντας* χαλεπωτάτους ἂν [αὐτοῖς] φαίνεσθαι.

*ἔαρ, ἦρος* = *τὸ τοῦ ἔτους μέρος μετὰ τὸν χειμῶνα*

*ἑκασταχόθεν* = *ἐκ ἑκάστου τόπου*

*πληρόω* = *πίμπλημι* ↔ *κενόω*

*ἀπόπειρα* = *πεῖρα (<πειράω)*

*κατεργάζομαι* = *κτάομαι, δέχομαι*

*συναναπείθω* = *ὠφελέω πείθειν*

*ἐπιχειρέω* = *προσβάλλω, μάχομαι*

*ἀίδιος, -ον* = *ὅς εἰς ἀεὶ μένει*

*ἠπειρώτης, -ου* ↔ *νησιώτης*

*ἀντιτολμάω* = *τολμῶ διότι καὶ ὁ ἄλλος τολμᾷ*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οἱ Ἀθηναῖοι [help to persuade] …………………… ἡμῖν αὐτοῦς τὰς ναῦς [to fill]

…………………… .

β) They decided to *attack* the *inhabitants of the mainland.*

……………………………………………………………………………………..

γ) χρήματα ἐδέξαντο [from each place] …………………… .

δ) On that *spring* the heat was *permanent.*

……………………………………………………………………………………..

ε) δεῖ σε [dare in return] …………………… καὶ [attempt] …………………… λαμβάνειν.

ζ) I think that he will *get* it.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| experience | ……………………… | minimally | ……………………… |
| to feel demoralised | ……………………… | to lead | ……………………… |
| to be able | ……………………… | difficult | ……………………… |

## Μελέτημα 14

**Lysias speaks about the priorities of some Athenians about marrying women with or without dowry and also the priorities of the parents about this:**

ἐκεῖνος γὰρ ὅτ' ἦν ἐν τῇ ἡλικίᾳ, *παρὸν* μετὰ πολλῶν χρημάτων γῆμαι ἄλλην, τὴν ἐμὴν μητέρα ἔλαβεν οὐδὲν *ἐπιφερομένην*, ὅτι δὲ Ξενοφῶντος ἦν θυγάτηρ τοῦ Εὐριπίδου ὑέος, ὃς οὐ μόνον *ἰδίᾳ χρηστὸς* ἐδόκει εἶναι, ἀλλὰ καὶ στρατηγεῖν αὐτὸν ἠξιώσατε, ὡς ἐγὼ ἀκούω. τὰς τοίνυν ἐμὰς ἀδελφὰς ἐθελόντων τινῶν λαβεῖν *ἀπροίκους* πάνυ πλουσίων οὐκ ἔδωκεν, ὅτι ἐδόκουν κάκιον γεγονέναι, ἀλλὰ τὴν μὲν Φιλομήλῳ τῷ Παιανιεῖ, ὃν οἱ πολλοὶ βελτίω *ἡγοῦνται* εἶναι ἢ πλουσιώτερον, τὴν δὲ πένητι γεγενημένῳ οὐ διὰ κακίαν, *ἀδελφιδῷ* δὲ ὄντι Φαίδρῳ τῷ Μυρρινουσίῳ, ἐπιδοὺς τετταράκοντα μνᾶς […]. πρὸς δὲ τούτοις ἐμοὶ πολλὴν ἐξὸν πάνυ *προῖκα* λαβεῖν *ἐλάττω* συνεβούλευσεν, ὥστε εὖ εἰδέναι ὅτι *κηδεσταῖς* χρησοίμην κοσμίοις καὶ σώφροσι.

*πάρεστι* = *ἔξεστι*

*ἐπιφέρομαι* = *εἰς τὸν γάμον φέρω*

*ἰδίᾳ* ↔ *δημοσίᾳ*

*χρηστός* = *ἀγαθός, εὐφυής, πιστός*

*ἄπροικος* = *χρήματα εἰς τὸν γάμον οὐ φερόμενος*

*ἡγέομαι* = *νομίζω*

*ἀδελφιδός* = *ὁ τῆς ἀδελφῆς υἱός*

*προῖξ, -ικός ἡ* = *τὰ χρήματα ἃ ὁ πατὴρ τῇ θυγατρὶ γαμουμένῃ δίδωσιν*

*ἐλάττων* ↔ *μείζων*

*κηδεστής, -οῦ* = *συγγενής*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) νομίζω τὸν [sister's son] ……………………. [honest] ……………………. εἶναι.

β) Your *relatives* never want to marry women *without dowry*.

……………………………………………………………………………………..

γ) αὕτη ἡ γυνὴ οὐδὲν εἰς τὸν γάμον [brought as dowry] …………………….  .

δ) *Being it possible* to obtain a large *dowry*, I did not want to.

……………………………………………………………………………………..

ε) τοῦτο ἀεὶ [privately] ……………………. πράττω, οὐδέποτε δημοσίᾳ.

ζ) I think that this army is *smaller* than yours.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to consider worthy | ……………………… | age | ……………………… |
| to give | ……………………… | to be willing | ……………………… |
| it is possible | ……………………… | to marry | ……………………… |

**Μελέτημα 15**

**Lucian offers here the well-known tale of the magician who made brooms and other things become human in order to serve him:**

"Καὶ τέλος πείθει με τοὺς μὲν *οἰκέτας* ἅπαντας ἐν τῇ Μέμφιδι καταλιπεῖν, αὐτὸν δὲ μόνον ἀκολουθεῖν μετ' αὐτοῦ, μὴ γὰρ *ἀπορήσειν* ἡμᾶς τῶν *διακονησομένων·* καὶ τὸ μετὰ τοῦτο οὕτω *διήγομεν*. ἐπειδὴ δὲ ἔλθοιμεν εἴς τι *καταγώγιον*, λαβὼν ἂν ὁ ἀνὴρ ἢ τὸν *μοχλὸν* τῆς θύρας ἢ τὸ *κόρηθρον* ἢ καὶ τὸ *ὕπερον* περιβαλὼν ἱματίοις ἐπειπών τινα *ἐπῳδὴν* ἐποίει βαδίζειν, τοῖς ἄλλοις ἅπασιν ἄνθρωπον εἶναι δοκοῦντα. τὸ δὲ ἀπιὸν ὕδωρ τε ἐμπίπλη καὶ *ὠψώνει* καὶ ἐσκεύαζεν καὶ πάντα δεξιῶς *ὑπηρέτει* καὶ διηκονεῖτο ἡμῖν· εἶτα, ἐπειδὴ ἅλις ἔχοι τῆς διακονίας, αὖθις κόρηθρον τὸ κόρηθρον ἢ ὕπερον τὸ ὕπερον ἄλλην ἐπῳδὴν ἐπειπὼν ἐποίει ἄν.

*οἰκέτης, -ου* = *ἄνθρωπος (εἴτε δοῦλος εἴτε συγγενὴς) ὅς σοι οἰκεῖ*

*ἀπορέω τούτου* ↔ *τοῦτο ἔχω*

*διακονέω* = *θεράπων εἰμί, θεραπεύω*

*διάγομαι* = *βιόω, τὸν βίον ἄγω*

*καταγώγιον* = *οἰκία ἐν ᾗ οἱ πορευόμενοι καθεύδουσιν*

*μοχλός* = *ὃ τὴν θύραν κλείει*

*κόρηθρον* = *ᾧ χρώμεθα ἵνα τὸ ἔδαφος καθαιρῶμεν*

*ὕπερον* = *ᾧ χρώμεθα ἵνα τὸν σῖτον συντρίβωμεν*

*ἐπῳδή* = *μαγικοὶ λόγοι*

*ὑπηρετέω* = *ὠφελέω, διακονέω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οἱ [servants] …………………… ἀεὶ τῷ [pestle] …………………… ἐν τῷ μαγειρείῳ

χρῶνται.

β) I closed the door with the *bolt*.

……………………………………………………………………………………..

γ) ὁ πατὴρ ἐκέλευσε τοὺς [servants] …………………… τὸ ἔδαφος [with the broom]

…………………… καθαιρεῖν.

δ) Being in such perplexity, I need a *spell*.

……………………………………………………………………………………..

ε) εὖ [he lives] …………………… , πολλοὶ γὰρ αὐτῷ [serve] …………………… .

ζ) They remained in that *inn* for four days.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| door | ……………………… | to accompany | ……………………… |
| to prepare | ……………………… | cloack | ……………………… |
| to leave | ……………………… | again | ……………………… |

## Μελέτημα 16

**Demosthenes tells us about a conflict between two families, and it seems that the problems started when both groups had some clashes when they were at the same camp in their military duties:**

Ἐξῆλθον ἔτος τουτὶ τρίτον εἰς Πάνακτον *φρουρᾶς* ἡμῖν *προγραφείσης*. *ἐσκήνωσαν* οὖν οἱ υἱεῖς οἱ Κόνωνος τουτουὶ ἐγγὺς ἡμῶν, ὡς οὐκ ἂν ἐβουλόμην, ἡ γὰρ ἐξ ἀρχῆς ἔχθρα καὶ τὰ *προσκρούματ'* ἐκεῖθεν ἡμῖν *συνέβη*· ἐξ ὧν δέ, ἀκούσεσθε. ἔπινον ἑκάστοθ' οὗτοι τὴν ἡμέραν, ἐπειδὴ τάχιστ' *ἀριστήσαιεν*, ὅλην, καὶ τοῦθ', ἕως περ ἦμεν ἐν τῇ φρουρᾷ, *διετέλουν* ποιοῦντες. ἡμεῖς δ' ὥσπερ ἐνθάδ' *εἰώθειμεν* οὕτω *διήγομεν* καὶ ἔξω. ἣν οὖν δειπνοποιεῖσθαι τοῖς ἄλλοις ὥραν συμβαίνοι, ταύτην ἂν ἤδη *ἐπαρῴνουν* οὗτοι.

*φρουρά* = *στρατεία ἐν στρατοπέδῳ τινί*
*προγράφω* = *διὰ γραφῆς κελεύω*
*σκηνόω* = *τὴν σκηνὴν ἀνατίθημι*
*πρόσκρουμα* = *ὕβρις, προσβολή*
*συμβαίνω* = *γίγνομαι*
*ἀριστάω* = *τοῦ ἡλίου ἀνατέλλοντος ἐσθίω*
*διατελέω* ↔ *παύομαι*
*ἔθω τοῦτο ποιεῖν* = *πολλάκις τοῦτο ποιῶ*
*διάγω* = *τὸν χρόνον διατρίβω*
*παροινέω* = *ἄδικα εἴτε ποιῶ εἴτε λέγω πολὺν οἶνον πιών*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) νῦν δεῖ ὑμᾶς [pitch the tent] ……………………. , διὰ τί ἐσθίοντες [you go on] ……………………. ;

β) We received many *offences* from them.

……………………………………………………………………………………..

γ) [After having breakfast] ……………………. , ποῦ τὴν ἡμέραν [will be spend] ……………………. ;

δ) We *are used* to remaining in the *garrison.*

……………………………………………………………………………………..

ε) τί [happens] ……………………. ; καθ' ἡμέραν, ἑσπέρας γενομένης, [you behave as a drunk man] …………………….  .

ζ) The archontes *enlisted* them for the army.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| near | ……………………… | to drink | ……………………… |
| son | ……………………… | year | ……………………… |
| while | ……………………… | hatred | ……………………… |

## Μελέτημα 17

**Appian's *Roman History*: the dictator Sulla has died, right after his funeral the main chieftains quarrel about who will be the next leader, and the senate tries to prevent more violence:**

Καὶ Σύλλα μὲν τοῦτο τέλος ἦν, ἀπὸ δὲ τῆς πυρᾶς χωροῦντες εὐθὺς οἱ *ὕπατοι* λόγοις βλασφήμοις ἐς ἀλλήλους *διεφέροντο*, καὶ τὸ *ἀστικὸν* ἐς αὐτοὺς *διῄρητο*. Λέπιδος δὲ καὶ τοὺς Ἰταλικοὺς *προσποιούμενος* ἔλεγεν ὅτι τὴν γῆν αὐτοῖς, ἣν ὁ Σύλλας ἀφῄρητο, ἀποδώσει. ἄμφω μὲν οὖν ἡ βουλὴ δείσασα *ὥρκωσε* μὴ πολέμῳ *διακριθῆναι*, *κληρωσάμενος* δ' ὁ Λέπιδος τὴν ὑπὲρ Ἄλπεις Γαλατίαν ἐπὶ τὰ *ἀρχαιρέσια* οὐ κατῄει ὡς πολεμήσων τοῖς Συλλείοις τοῦ *ἐπιόντος* ἔτους.

*ὕπατος* = *ἄρχων*

*διαφέρομαι* ↔ *ὁμολογέω*

*ἀστικόν* = *ὁ δῆμος*

*διαιρέω* ↔ *συναιρέω*

*προσποιέομαι αὐτούς* = *αὐτοὺς ὡς φίλους κτᾶσθαι πειρῶ*

*ὁρκόω* = *ὀμνύναι ἀναγκάζω*

*διακρίνομαι* = *κρίνω τίς νικᾷ*

*κληρόομαι* = *διὰ κλήρου κτάομαι*

*ἀρχαιρέσια, -ων* = *ἡ συμφορὰ ἐν ᾗ οἱ πολῖται τοὺς ἄρχοντας αἱροῦνται*

*ἐπιών, όντος* = *ἐπιγιγνόμενος* ↔ *προτεραῖος*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ἐν τοῖς [elections] ........................ οἱ πολῖται ἀεὶ [get divided] ........................ .

β) They never agree, they *are* always *quarrelling.*

...........................................................................................................

γ) ἐβούλετο τοὺς πολίτας [to win over] ........................ τῇ [following] ........................ ἑβδομάδι.

δ) I must *decide* which *consul* will go to Athens.

...........................................................................................................

ε) δεῖ με αὐτὸν [make swear] ........................ μὴ τὴν πόλιν διαφθερεῖν.

ζ) The *people* did not give it to him, he *got* it *by lot.*

...........................................................................................................

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to take | .......................... | end | .......................... |
| walk | .......................... | to fear | .......................... |
| year | .......................... | to come down | .......................... |

## Μελέτημα 18

**Andocides tells us about a case against Alcibiades in which we also hear about the Athenian procedure of granting immunity to a witness:**

Ἦν μὲν γὰρ ἐκκλησία τοῖς στρατηγοῖς τοῖς εἰς Σικελίαν, Νικίᾳ καὶ Λαμάχῳ καὶ Ἀλκιβιάδῃ, καὶ τριήρης ἡ *στρατηγὶς* ἤδη *ἐξώρμει* ἡ Λαμάχου· ἀναστὰς δὲ Πυθόνικος ἐν τῷ δήμῳ εἶπεν· "ὦ Ἀθηναῖοι, ὑμεῖς μὲν στρατιὰν ἐκπέμπετε καὶ παρασκευὴν τοσαύτην, καὶ κίνδυνον *ἀρεῖσθαι* μέλλετε· Ἀλκιβιάδην δὲ τὸν στρατηγὸν ἀποδείξω ὑμῖν τὰ μυστήρια ποιοῦντα ἐν οἰκίᾳ μεθ' ἑτέρων, καὶ ἐὰν ψηφίσησθε *ἄδειαν* ᾧ ἐγὼ κελεύω, θεράπων ὑμῖν ἑνὸς τῶν ἐνθάδε ἀνδρῶν *ἀμύητος* ὢν ἐρεῖ τὰ μυστήρια· εἰ δὲ μή, χρῆσθέ μοι ὅ τι ἂν ὑμῖν δοκῇ, ἐὰν μὴ τἀληθῆ λέγω". *ἀντιλέγοντος* δὲ Ἀλκιβιάδου πολλὰ καὶ *ἐξάρνου* ὄντος, ἔδοξε τοῖς πρυτάνεσι τοὺς μὲν ἀμυήτους *μεταστήσασθαι*, αὐτοὺς δ' ἰέναι ἐπὶ τὸ *μειράκιον* ὃ ὁ Πυθόνικος ἐκέλευεν. καὶ *ᾤχοντο*, καὶ ἤγαγον θεράποντα Πολεμάρχου.

*στρατηγίς, -ίδος* = *ἡ τοῦ στρατηγοῦ τριήρης*
*ἐξορμεῖ ἡ ναῦς* = *ἡ ναῦς ἔξω τοῦ λιμένος μένει*
*ἄρνυμαι* = *δέχομαι, κτάομαι*
*ἄδειαν ἔχω* = *οὐδὲν πάσχω καὶ εἴ τι λέγω ὃ ἄλλους ταράττει*
*ἀμύητος* = *ὅς περὶ τὰ μυστηρία οὐδὲν γιγνώσκει*
*ἀντιλέγω* = *ἀποκρίνομαι, τὸ ἐναντίον λέγω*
*ἔξαρνος* = *ὅς λέγει χρῆμα τι οὐκ ἀληθὲς εἶναι*
*μεθίσταμαι* = *ἀπέρχομαι*
*μειράκιον* = *νεανίας, παῖς*
*οἴχομαι* ↔ *ἥκω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) πᾶσι ἀρέσκει δῶρα [to get] ........................ · τί τούτῳ [do you reply] ........................ ;

β) He *went to live* somewhere else, as he was *ignorant* about mysteries.

.........................................................................................................

γ) τὴν [ship of the general] ........................ κατέδυσαν.

δ) That one *who denied* everything *is* already *gone*.

.........................................................................................................

ε) [Were lying at anchor] ........................ εἴκοσι νῆες ἔξω τοῦ λιμένος.

ζ) Although he killed that *boy*, he has *immunity*.

.........................................................................................................

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| so big | .......................... | servant | .......................... |
| to stand up | .......................... | assembly | .......................... |
| with | .......................... | to use | .......................... |

## Μελέτημα 19

**Isocrates, in the Panegyricus, says that Athens deserves much praise for all the good it has made to society, and tells us how we must recount these favours:**

ὅσων δὲ τοῖς ἄλλοις ἀγαθῶν αἴτιοι γεγόναμεν, οὕτως ἂν κάλλιστ' *ἐξετάσαιμεν*, εἰ τόν τε χρόνον ἀπ' ἀρχῆς καὶ τὰς πράξεις τὰς τῆς πόλεως *ἐφεξῆς διέλθοιμεν*. Εὑρήσομεν γὰρ αὐτὴν οὐ μόνον τῶν πρὸς τὸν πόλεμον κινδύνων, ἀλλὰ καὶ τῆς ἄλλης *κατασκευῆς*, ἐν ᾗ *κατοικοῦμεν* καὶ μεθ' ἧς *πολιτευόμεθα* καὶ δι' ἣν ζῆν δυνάμεθα, *σχεδὸν* ἁπάσης αἰτίαν οὖσαν. Ἀνάγκη δὲ προαιρεῖσθαι τῶν εὐεργεσιῶν μὴ τὰς διὰ μικρότητα *διαλαθούσας* καὶ *κατασιωπηθείσας*, ἀλλὰ τὰς διὰ τὸ μέγεθος ὑπὸ πάντων ἀνθρώπων καὶ πάλαι καὶ νῦν *πανταχοῦ* καὶ λεγομένας καὶ μνημονευομένας.

*ἐξετάζω τοῦτο* = *ἀκριβέστατα πρὸς τοῦτο βλέπω*

*ἐφεξῆς* ↔ *ἄνευ κόσμου*

*διέρχομαι* = *ἐξηγέομαι, διηγέομαι*

*κατασκευή* = *πολιτεία, οἱ τῆς πόλεως νόμοι*

*κατοικέω* = *οἰκέω*

*πολιτεύομαι* = *ἐν τῇ πόλει ἅμα τοῖς ἄλλοις πολίταις συνοικῶ*

*σχεδὸν πάντες* = *πάντες πλὴν ἑνὸς ἢ δυοῖν*

*διαλανθάνω* = *οὐδεὶς ὁρᾷ με παρόντα*

*κατασιωπάω* = *σιγάω, σιωπάω, οὐδὲν λέγω*

*πανταχοῦ* ↔ *οὐδαμοῦ*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) [Almost] ……………………. πάντες τὴν τῆς πόλεως [social structure] …………………….

ἐπαινοῦσιν.

β) If you want to *live* here, you must *keep silence* about those affairs.

………………………………………………………………………………………..

γ) πάσας τὰς βίβλους [in order] ……………………. ἀνέγνων.

δ) I want to *investigate* why he is always *unnoticed* at meetings.

………………………………………………………………………………………..

ε) δεῖ ἡμᾶς εὖ [to live as citizens] ……………………. ἐὰν βουλώμεθα [everywhere]

……………………. εὖ ἀκούειν.

ζ) The father *narrated* the myth to the children.

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to prefer | ……………………… | to find | ……………………… |
| good deed | ……………………… | as many as | ……………………… |
| action | ……………………… | beginning | ……………………… |

## Μελέτημα 20

**Dio Chrysostom gives some advice about the kind of training exercises that somebody should undertake if he wants to be a good speaker, and clearly he gives priority to speaking rather than writing, although some writing exercises must be done:**

γράφειν μὲν οὖν οὐ συμβουλεύω σοι αὐτῷ ἀλλ' ἢ σφόδρα *ἀραιῶς*, *ἐπιδιδόναι* δὲ [τὸ γράφειν] μᾶλλον. πρῶτον μὲν γὰρ ὁμοιότερος τῷ λέγοντι ὁ *ὑπαγορεύων* τοῦ γράφοντος· ἔπειτα ἐλάττονι πόνῳ γίγνεται· ἔπειτα πρὸς δύναμιν μὲν [τὸ ὑπαγορεύειν] ἧττον *συλλαμβάνει* τοῦ γράφειν, πρὸς *ἕξιν* δὲ πλεῖον. καὶ γράφειν δὲ οὐ ταῦτά σε ἀξιῶ τὰ σχολικὰ *πλάσματα*, ἀλλ', εἴπερ ἄρα [γράφειν δεῖ], [ἀξιῶ σε λαβεῖν] τινὰ τῶν λόγων, οἷς ἂν *ἡσθῇς* ἐντυγχάνων, μάλιστα τῶν Ξενοφωντείων, [καὶ γράφειν] ἢ ἀντιλέγοντα τοῖς *εἰρημένοις* ἢ τὰ αὐτὰ ἕτερον τρόπον *ὑποβάλλοντα*.

*ἀραιῶς* ↔ *πολλάκις*
*ἐπιδίδωμι* = *ἄλλῳ τινὶ δίδωμι*
*ὑπαγορεύω* = *λέγω ἵνα ἄλλος τις γράφῃ ὃ λέγω*
*συλλαμβάνω* = *ὠφελέω*
*ἕξιν ἔχω* = *ἕτοιμός εἰμι*
*σχολικός* = *διδασκαλικός*
*πλάσμα* = *μελέτημα*
*ἡσθῇς* < *ἥδομαι*
*εἰρημένος* < *εἴρημαι* < *λέγω*
*ὑποβάλλω* = *ὡς παράδειγμα προτίθημι*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) μεγάλην [readiness] …………………… ἔχειν ἀεὶ τοῖς ῥήτωρσι [helps] …………………… .

β) *Pass* this *over* to your slave, he will do it.

……………………………………………………………………………………..

γ) παῖς ὢν ἀεὶ τὰ [school-related] …………………… πράγματα ἐμίσουν οἷς σὺ χθὲς [enjoyed] …………………… .

δ) He *proposed* this, but Pericless, having heard *what had been said*, opposed.

……………………………………………………………………………………..

ε) τὴν ἐπιστολήν σοι [I will dictate] …………………… .

ζ) I *hardly ever* do this kind of *exercises*.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| similar | ……………………… | smaller | ……………………… |
| more | ……………………… | very | ……………………… |
| to advise | ……………………… | to come across | ……………………… |

## **Μελέτημα 21**

**In the *Anabasis*, Cyrus makes a speech to the Greek mercenaries and tries to encourage them:**

Κῦρος δὲ συγκαλέσας τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τῶν Ἑλλήνων *συνεβουλεύετό* τε πῶς ἂν τὴν μάχην ποιοῖτο καὶ αὐτὸς παρῄνει *θαρρύνων* τοιάδε· "Ὦ ἄνδρες Ἕλληνες, οὐκ ἀνθρώπων *ἀπορῶν* βαρβάρων συμμάχους ὑμᾶς ἄγω, ἀλλὰ νομίζων ἀμείνονας καὶ *κρείττους* πολλῶν βαρβάρων ὑμᾶς εἶναι, διὰ τοῦτο *προσέλαβον*. Ὅπως οὖν ἔσεσθε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας ἧς *κέκτησθε* καὶ ἧς ὑμᾶς ἐγὼ *εὐδαιμονίζω*. Εὖ γὰρ ἴστε ὅτι τὴν ἐλευθερίαν ἑλοίμην ἂν ἀντὶ ὧν ἔχω πάντων καὶ ἄλλων *πολλαπλασίων*. Ὅπως δὲ καὶ *εἰδῆτε* εἰς οἷον ἔρχεσθε ἀγῶνα, ὑμᾶς *εἰδὼς* διδάξω· ..."

*συμβουλεύομαι* = *μετὰ τῶν ἄλλων διαλέγομαι τί δεῖ ποιεῖν*
*θαρρύνω* = *ἐποτρύνω, ἄλλον τινὰ ἀνδρεῖον ποιῶ*
*ἀπορέω τούτου* = *οὐκ ἔχω τοῦτο*
*κρείττους* = *κρείττονας*
*προσλαμβάνω* = *μετὰ ἄλλων λαμβάνω*
*κέκτημαι* = *ἔχω*
*εὐδαιμονίζω σε* = *νομίζω σε εὐδαίμονα εἶναι*
*πολλαπλάσιοι* = *πολλοὶ πλείονες*
*εἰδῆτε* < *οἶδα*
*εἰδώς* < *οἶδα*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τοῦτο λέγω ἵνα [you may know it] …………………… , ἐγὼ γὰρ [knowing it] …………………… τυγχάνω.

β) I must have *stronger* allies and I want *to add* these hoplites.

……………………………………………………………………………………

γ) πῶς ἔξεστί μοι τοὺς στρατιώτας [to encougare] …………………… ;

δ) Now *I lack* money, and Pericles *possesses* nothing.

……………………………………………………………………………………

ε) βούλομαι τοῖς ἄλλοις στρατηγοῖς [to deliberate] …………………… .

ζ) *We consider happy* the generals that have *very many* soldiers.

……………………………………………………………………………………

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to advise | ……………………… | to know | ……………………… |
| to choose | ……………………… | captain | ……………………… |
| to convoke | ……………………… | better | ……………………… |

## Μελέτημα 22

**Apollodorus tells us about the myth of the giants attacking the sky and offers a description of them:**

Γῆ δὲ περὶ Τιτάνων *ἀγανακτοῦσα* γεννᾷ Γίγαντας ἐξ Οὐρανοῦ, μεγέθει μὲν σωμάτων *ἀνυπερβλήτους,* δυνάμει δὲ *ἀκαταγωνίστους,* οἳ φοβεροὶ μὲν ταῖς *ὄψεσι* κατεφαίνοντο, *καθειμένοι* βαθεῖαν κόμην ἐκ κεφαλῆς καὶ γενείων, εἶχον δὲ τὰς *βάσεις φολίδας* δρακόντων, ... *ἠκόντιζον* δὲ εἰς οὐρανὸν πέτρας καὶ *δρῦς ἡμμένας.*

*ἀγανακτέω* = *ὀργίζομαι*
*ἀνυπέρβλητος* = *ἀνίκητος*
*ἀκαταγώνιστος* = *ἀνίκητος*
*ὄψις, -εως* = *θέαμα, ὃ ἔξεστιν ὁρᾶν*
*καθίημι* = *πέμπω κάτω*
*βάσις, -εως* = *ποῦς*
*φολίς, -ίδος* = *δέρμα ὃ οὐ λεῖόν ἐστιν*
*ἀκοντίζω* = *ὅπλοις βάλλω*
*δρῦς, δρυός* = *γένος τι δένδρου*
*ἅπτω* = *πίμπρημι*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ἐκεῖνοι οἱ στρατιῶται [unbeatable] ........................ ἦσαν.

β) They *shot* all the arrows *downwards* towards the *feet*.

...............................................................................................................

γ) πρὸς τὸ θήριον [they hurled the weapons] ........................ .

δ) He *became angry* because the house *caught fire*.

...............................................................................................................

ε) ταύτην τὴν [rough skin] ........................ ἔχων, [invincible] ........................ εἶ.

ζ) The *appearance* of the *oak* was very nice.

...............................................................................................................

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| terrible | .......................... | to beget | .......................... |
| size | .......................... | long hair | .......................... |
| to appear | .......................... | deep | .......................... |

## Μελέτημα 23

**Lucian narrates about an imaginary world: incredible animals, a sea of milk, an island that is a giantic cheese…**

Πλεύσαντες οὖν *ὅσον* τριακοσίους σταδίους νήσῳ μικρᾷ καὶ ἐρήμῃ προσηνέχθημεν, ἀφ' ἧς ὕδωρ λαβόντες – *ἐπελελοίπει* γὰρ ἤδη – καὶ δύο ταύρους ἀγρίους *κατατοξεύσαντες* ἀπεπλεύσαμεν. οἱ δὲ ταῦροι οὗτοι τὰ κέρατα οὐκ ἐπὶ τῆς κεφαλῆς εἶχον, ἀλλ' ὑπὸ τοῖς ὀφθαλμοῖς, ὥσπερ ὁ Μῶμος *ἠξίου*. μετ' οὐ πολὺ δὲ εἰς *πέλαγος* ἐνεβαίνομεν, οὐχ ὕδατος, ἀλλὰ γάλακτος· καὶ νῆσος ἐν αὐτῷ ἐφαίνετο λευκὴ πλήρης ἀμπέλων. ἦν δὲ ἡ νῆσος *τυρὸς* μέγιστος *συμπεπηγώς*, ὡς ὕστερον *ἐμφαγόντες* ἐμάθομεν, σταδίων εἴκοσι πέντε τὸ περίμετρον· αἱ δὲ ἄμπελοι *βοτρύων* πλήρεις, οὐ μέντοι οἶνον, ἀλλὰ γάλα ἐξ αὐτῶν *ἀποθλίβοντες* ἐπίνομεν.

*ὅσον δέκα* = *οὐκ ἀκριβῶς δέκα, ἴσως ἐννέα ἢ ἕνδεκα*
*ἐπιλείπω* = *ἄπειμι*
*κατατοξεύω* = *τόξῳ ἀποκτείνω*
*ἀξιόω* = *βούλομαι*
*πέλαγος, ους* = *θάλαττα*
*τυρός* = *ὃ ἐκ τοῦ γάλακτος γίγνεται καὶ ἐσθίομεν*
*συμπήγνυμι* ↔ *ἀσθενόω*
*ἐνεσθίω* = *ἐσθίω*
*βότρυς, -υος ὁ* = *ὃ ἡ ἄμπελος φύει*
*ἀποθλίβω* = *πιέζω, ἐξοπίζω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) [Around] …………………… τετταράκοντα ἄνθρωποι τὸ ζῷον [killed with an arrow]

…………………… .

β) The children *ate* all the *cheese*.

……………………………………………………………………………………..

γ) πέντε ναῦς εἶδον ἐν τῷ [sea] …………………… .

δ) We *squeezed* all the *grapes* and obtained wine.

……………………………………………………………………………………..

ε) ἐν ἀπορίᾳ ἐσμέν, τὸ γὰρ ὕδωρ [has finished] …………………… .

ζ) They *wanted* to *solidify* that liquid.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| milk | ……………………… | full | ……………………… |
| water | ……………………… | to sail | ……………………… |
| horn | ……………………… | island | ……………………… |

## Μελέτημα 24

**Dio Chrysostom gives an example of an oracle wrongly interpreted because two places shared the same name, and the consequences were really bad:**

πάλιν τοίνυν Ἀθηναίοις ἐρωτῶσι περὶ τῆς νήσου Σικελίας *ἔχρησε* [ὁ θεὸς] *προσλαβεῖν* τῇ πόλει τὴν Σικελίαν, λόφον τινὰ ἐγγὺς ὄντα τῆς πόλεως. οἱ δὲ τῶν μὲν *παρακειμένων* καὶ τῶν ἐν ὀφθαλμοῖς *ἠμέλησαν*· οὕτως δ' ἔκφρονες *ὑπῆρχον* διὰ τὴν ἐπιθυμίαν τοῦ πλείονος, ὥστε τὸν θεὸν αὐτοῖς ἐνόμιζον λέγειν ἐν ἑνὶ τείχει περιλαβεῖν τὰς Ἀθήνας καὶ τὴν ἀπὸ μυρίων που σταδίων οὖσαν νῆσον. τοιγαροῦν ἐκεῖσε πλεύσαντες οὐ μόνον Σικελίας *διήμαρτον*, ἀλλὰ καὶ τῆς Ἀττικῆς *ἐστερήθησαν*, καὶ τὴν πόλιν αὐτὴν *ἐπεῖδον* ἐπὶ τοῖς πολεμίοις γεγενημένην. καὶ τὰ μὲν τοιαῦτα εἰ θέλοι τις *ἐπεξιέναι*, δῆλον ὡς οὐδ' ἐν ἔτει *ἐπιλείψει*.

*χράω* = *διὰ χρησμοῦ ἀποκρίνομαι*
*προσλαμβάνω τοῦτο τῇ χώρᾳ* = *ἅμα τίθημι τοῦτό τε καὶ τὴν χώραν*
*παρακεῖμαι* = *ἐγγὺς κεῖμαι*
*ἀμελέω* ↔ *ἐπιμελέω*
*ὑπάρχω* = *εἰμί*
*διαμαρτάνω τούτου* = *οὐ κτῶμαι τοῦτο*
*στερέω σε τούτου* ↔ *δίδωμί σοι τοῦτο*
*ἐφοράω* = *ὁρῶ καὶ ἐάν μοι οὐκ ἀρέσκῃ*
*ἐπεξέρχομαι* = *εἰς τὸ τέλος διηγέομαι*
*ἐπιλείπω* = *τελέω, τελευτάω, εἰς τὸ τέλος ἀφικνοῦμαι*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ἐὰν ταύτην τὴν χώραν τῇ ἀρχῇ [we add] ……………………. , οἱ πολέμιοι [will deprive]

……………………. ἡμᾶς αὐτῆς.

β) *There are* no bad people in this city.

……………………………………………………………………………………………..

γ) καίπερ τοῦ θεοῦ νίκην μεγάλην [announced through the oracle] ……………………. , μεγάλην

ἧτταν [we had to see] …………………….  .

δ) This general always *neglects* his soldiers.

……………………………………………………………………………………………..

ε) οὐδέποτε [I will finish] ……………………. ἀριθμῶν τὰς [nearby] ……………………. νήσους.

ζ) Pericles *explained* why the Athenians *could not get* the other city.

……………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| desire | ……………………… | wall | ……………………… |
| more | ……………………… | to ask | ……………………… |
| hill | ……………………… | mindless | ……………………… |

## Μελέτημα 25

**The battle between the Greeks and the king's army in the *Anabasis*: Tissaphernes seems to experience some difficulties, but finally he joins forces with the king and some strategic movements take place. As usual, no army wants to be surrounded by the enemy:**

Ὁ δ᾽ οὖν Τισσαφέρνης ὡς *μεῖον* ἔχων *ἀπηλλάγη*, πάλιν μὲν οὐκ ἀναστρέφει, εἰς δὲ τὸ στρατόπεδον ἀφικόμενος τὸ τῶν Ἑλλήνων ἐκεῖ *συντυγχάνει* βασιλεῖ, καὶ *ὁμοῦ* δὲ πάλιν συνταξάμενοι ἐπορεύοντο. Ἐπεὶ δ᾽ ἦσαν κατὰ τὸ *εὐώνυμον* τῶν Ἑλλήνων κέρας, *ἔδεισαν* οἱ Ἕλληνες μὴ *προσάγοιεν* πρὸς τὸ κέρας καὶ *περιπτύξαντες* ἀμφοτέρωθεν αὐτοὺς κατακόψειαν· καὶ ἐδόκει αὐτοῖς *ἀναπτύσσειν* τὸ κέρας καὶ *ποιήσασθαι* ὄπισθεν τὸν ποταμόν.

*μεῖον* = *μικρότερος, κακίων*

*ἀπαλλάττω* = *ἀπέρχομαι*

*συντυγχάνω* = *τύχῃ εὑρίσκω*

*ὁμοῦ* = *ἅμα*

*εὐώνυμος* ↔ *ἀριστερός*

*δείδω* = *φοβέομαι*

*προσάγω* = *προσελαύνω*

*περιπτύσσω* = *κυκλόω*

*ἀναπτύσσω* = *στρέφω*

*ποιέομαι* = *ἐμαυτὸν τίθημι*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) πρὸς τὸ [left] …………………… κέρας ἀπῆλθον.

β) They *feared* that the enemy might arrive.

……………………………………………………………………………………..

γ) οἱ πολέμιοι τὸ δεξιὸν κέρας [turned] …………………… καὶ [position themselves]

…………………… ὄπισθεν τῶν τειχῶν.

δ) They *coincided* with the allies and advanced *together*.

……………………………………………………………………………………..

ε) Οἱ Πέρσαι [worse] ………………… ἔχοντες πρὸς τὴν πόλιν [withdrew] ………………… .

ζ) They decided *to advance* to the city and *surround* it.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to travel | ……………………… | camp | ……………………… |
| there | ……………………… | horn | ……………………… |
| behind | ……………………… | to go back | ……………………… |

## Μελέτημα 26

**In Syracuse, the Athenians realise that the enemy has put a barrier along the entrance of the harbour, and then they take some strategical decisions about what areas containing what are to be defended:**

Τοῖς δὲ Ἀθηναίοις, τήν τε *ἀπόκλῃσιν* ὁρῶσι καὶ τὴν ἄλλην *διάνοιαν* αὐτῶν *αἰσθόμενοις*, βουλευτέα ἐδόκει. καὶ συνελθόντες οἵ τε στρατηγοὶ καὶ οἱ ταξίαρχοι πρὸς τὴν παροῦσαν ἀπορίαν, ὅτι τὰ *ἐπιτήδεια* οὔτε αὐτίκα ἔτι εἶχον οὔτε τὸ λοιπὸν ἔμελλον ἕξειν εἰ μὴ *ναυκρατήσουσιν*, ἐβουλεύσαντο τὰ μὲν τείχη τὰ ἄνω ἐκλιπεῖν, πρὸς δὲ αὐταῖς ταῖς ναυσὶν *ἀπολαβόντες διατειχίσματι* ὅσον οἷόν τε ἐλάχιστον τοῖς τε *σκεύεσι* καὶ τοῖς *ἀσθενοῦσιν* ἱκανὸν γενέσθαι, τοῦτο μὲν *φρουρεῖν*.

*ἀπόκλῃσις* < *ἀποκλείω, οὐκ ἐῶ ἐξελθεῖν*
*διάνοια* = *βούλευμα, ὃ ἐν νῷ ἔχω ποιεῖν*
*αἰσθάνομαι* = *ὁρῶ, μανθάνω, τοῦτο οὐ λανθάνει με*
*ἐπιτήδειος* = *ἀναγκαῖος*
*ναυκρατέω* = *ἐν ναυμαχίᾳ νικάω, κρατέω*
*τὸν τόπον ἀπολαμβάνω* = *τὸν τόπον ἄβατον ποιῶ, τὸν τόπον κλείω*
*διατείχισμα* = *τεῖχος*
*σκεῦος, -ους* = *ἃ οἱ στρατιῶται ἀεὶ φέρουσιν*
*ἀσθενέω* ↔ *ὑγιαίνω*
*τὸν τόπον φρουρέω* = *τὸν τόπον τείχει φυλάττω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) πάντα τὰ [supplies] ……………………. ἤνεγκον τοῖς [winners of the naval battle]

……………………. .

β) They brought in all the *equipment* and the *ill ones*.

……………………………………………………………………………………..

γ) τέλος δὲ τὴν τῶν Ἀθηναίων [plan] ……………………. [they realised] ……………………. .

δ) The Persians, having seen the *blockage*, were afraid.

……………………………………………………………………………………..

ε) καὶ τόπον μεγάλῳ [wall] ……………………. [they isolated] ……………………. .

ζ) They *fortified* the city.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| remaining | ……………………… | to deliberate | ……………………… |
| present | ……………………… | at once | ……………………… |
| upwards | ……………………… | to meet | ……………………… |

## Μελέτημα 27

**Apollodorus tells us about the episode of Jason having to yoke the savage bulls and Medea helping him with her magic arts:**

*δεδοικυῖα* δὲ μὴ πρὸς τῶν ταύρων διαφθαρῇ, *κρύφα* τοῦ πατρὸς *συνεργήσειν* αὐτῷ πρὸς τὴν *κατάζευξιν* τῶν ταύρων *ἐπηγγείλατο* καὶ τὸ δέρας *ἐγχειριεῖν*, ἐὰν ὀμόσῃ αὐτὴν ἕξειν γυναῖκα καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγάγηται. ὀμόσαντος δὲ Ἰάσονος φάρμακον δίδωσιν, ᾧ καταζευγνύναι μέλλοντα τοὺς ταύρους ἐκέλευσε *χρῖσαι* τήν τε ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γὰρ χρισθέντα ἔφη πρὸς μίαν ἡμέραν μήτ' ἂν ὑπὸ πυρὸς ἀδικηθήσεσθαι μήτε ὑπὸ σιδήρου. ἐδήλωσε δὲ αὐτῷ *σπειρομένων* τῶν ὀδόντων ἐκ γῆς ἄνδρας μέλλειν *ἀναδύεσθαι* ἐπ' αὐτὸν *καθωπλισμένους*.

*δέδια* = *φοβέομαι*

*κρύφα* ↔ *ἐν τῷ φανερῷ*

*συνεργέω* = *ὠφελέω, βοηθέω*

*κατάζευσις, -εως* = *τὸ τοῖς βουσὶ τὸ ζυγὸν ἐπιθεῖναι*

*ἐπαγγέλλομαι* = *ἀγγέλλω, λέγω*

*ἐγχειρίζω* = *δίδωμι, ἐν ταῖς χερσὶ ἄλλου τινὸς τίθημι*

*χρίζω ἐμαυτὸν ἐλαίῳ* = *ἐλαίῳ τὸ σῶμα ἀλείφω*

*σπείρω* = *φυτεύω, [τὸ σπέρμα] εἰς τὴν γῆν βάλλω*

*ἀναδύομαι* ↔ *καταδύομαι (θυέλλης γενομένης, αἱ νῆες πολλάκις καταδύονται)*

*καθοπλίζομαι* = *ὅπλα παρασκευάζω ἐμαυτῷ*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τῷ ἀθλητῇ [I helped] ........................ τὸ σῶμα [to anoint] ........................ .

β) I *announced* that the soldiers *were* already *armed.*

.........................................................................................................

γ) [I fear] ........................ μὴ τοῦτο τὸ κακὸν σπέρμα [they may plant] ........................ .

δ) *Putting* the oxen *under the yoke* was very difficult.

.........................................................................................................

ε) [They appeared] ........................ ἐκ τῆς γῆς [secretly] ........................ νυκτός.

ζ) I will *put* this *in your hands* if you tell me the truth.

.........................................................................................................

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to swear | .......................... | sailing mate | .......................... |
| shield | .......................... | to destroy | .......................... |
| iron | .......................... | to yoke | .......................... |

## Μελέτημα 28

**Plato shows us Thrasymachus sweating and blushing but agreeing to go on in his conversation with Socrates but under some conditions:**

Ὁ δὴ Θρασύμαχος ὡμολόγησε μὲν πάντα ταῦτα, οὐχ ὡς ἐγὼ νῦν ῥᾳδίως λέγω, ἀλλ' *ἑλκόμενος* καὶ *μόγις*, μετὰ *ἱδρῶτος*, θαυμαστοῦ ὅσου, ἅτε καὶ θέρους ὄντος (τότε καὶ εἶδον ἐγώ, πρότερον δὲ οὔπω, Θρασύμαχον *ἐρυθριῶντα*)· ἐπειδὴ δὲ οὖν *διωμολογησάμεθα* τὴν δικαιοσύνην ἀρετὴν εἶναι καὶ σοφίαν, τὴν δὲ ἀδικίαν κακίαν τε καὶ *ἀμαθίαν*, "Εἶεν," ἦν δ' ἐγώ, "τοῦτο μὲν ἡμῖν οὕτω κείσθω, ἔφαμεν δὲ δὴ καὶ ἰσχυρὸν εἶναι τὴν ἀδικίαν. ἢ οὐ μέμνησαι, ὦ Θρασύμαχε;" "Μέμνημαι," ἔφη· "ἀλλ' ἔμοιγε οὐδὲ ἃ νῦν λέγεις ἀρέσκει, καὶ *ἔχω* περὶ αὐτῶν λέγειν. εἰ οὖν λέγοιμι, εὖ οἶδ' ὅτι *δημηγορεῖν* ἄν με φαίης. ἢ οὖν ἔα με εἰπεῖν ὅσα βούλομαι, ἤ, εἰ βούλει ἐρωτᾶν, ἐρώτα· ἐγὼ δέ σοι, ὥσπερ ταῖς γραυσὶν ταῖς τοὺς μύθους λεγούσαις, 'εἶεν' ἐρῶ καὶ *κατανεύσομαι* καὶ *ἀνανεύσομαι*."

*ἕλκω = ἀναγκάζω*

*μόγις ↔ ῥᾳδίως*

*ἱδρώς = τὸ ὕδωρ ὃ ἐκ τοῦ δέρματος ἐκρεῖ ὁπόταν κάμνωμεν*

*ἐρυθριάω = τὸ ἐμὸν πρόσωπον ἐρυθρὸς γίγνεται*

*διομολογέω = ὁμολογέω*

*ἀμαθία ↔ σοφία*

*ἔχω γράφειν = δύναμαι γράφειν*

*δημηγορέω = πρὸ τοῦ δήμου ἀγορεύω*

*κατανεύω = "ναὶ" τῇ κεφαλῇ λέγειν*

*ἀνανεύω = "οὐ" τῇ κεφαλῇ λέγειν*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ἐγὼ εἶδον πολὺ [of sweat] …………………… ἐν τῷ τοῦ [orator] ……………………

προσώπου.

β) When I said this, he *blushed.*

………………………………………………………………………………………..

γ) ἐγὼ μὲν ἠρόμην "ἆρα [were you compelled] …………………… ;" οὗτος δὲ [denied with the head] …………………… .

δ) Finally they *agreed* that Socrates was wiser.

………………………………………………………………………………………..

ε) ὁ μὲν ἐμὸς διδάσκαλος [can] …………………… τοῦτο ποιεῖν, σὺ δὲ [hardly]

…………………… .

ζ) *He nodded to say "yes",* and it was easy for us to realise his *ignorance.*

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to please | ……………………. | to remember | ……………………. |
| justice | ……………………. | to agree | ……………………. |
| easy | ……………………. | old woman | ……………………. |

## Μελέτημα 29

**Demosthenes tells the judges how Athens got to control the Chersonese: three chieftains fighting for power after the death of the former king and trying to obtain the favour of the Athenians, but finally some people, fed up with the state of affairs, decide to favour one of the three candidates:** (some help with articular infinitives and participles is provided)

Ἀνάγκη δὲ ἐστὶ πρῶτον ἁπάντων εἰπεῖν καὶ δεῖξαι τί ποτ' ἐστὶ τὸ [τὴν] Χερρόνησον ὑμᾶς *ἀσφαλῶς* ἔχειν πεποιηκός (τὸ … πεποιηκός)· διὰ γὰρ τοῦ μαθεῖν τοῦτο καὶ τἀδίκημα σαφῶς *ὄψεσθε*. ἔστι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο, τὸ *τελευτήσαντος* Κότυος Βηρισάδην καὶ Ἀμάδοκον καὶ Κερσοβλέπτην τρεῖς ἀνθ' ἑνὸς [βασιλέως] γενέσθαι (τὸ … γενέσθαι) Θρᾴκης βασιλέας· *συμβέβηκε* γὰρ ἐκ τούτου αὑτοῖς μὲν *ἀντιπάλους* εἶναι τούτους, ὑμᾶς δ' *ὑπέρχεσθαι* καὶ *θεραπεύειν*. τοῦτο τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, βουλόμενοί τινες παῦσαι καὶ *καταλῦσαι* μὲν τοὺς ἑτέρους βασιλέας, παραδοῦναι δ' ἑνὶ τῷ Κερσοβλέπτῃ τὴν ἀρχὴν ἅπασαν, *διαπράττονταί* σφισι τοῦτο γενέσθαι τὸ *προβούλευμα*.

*ἀσφαλῶς* ↔ *ἀσθενῶς*
*ὄψομαι* < *ὁράω*
*τελευτάω* = *ἀποθνῄσκω*
*συμβαίνει* = *γίγνεται*
*ἀντίπαλος* ↔ *φίλος*
*ὑπέρχομαί σε* = *πειρῶ σε πείθειν*
*θεραπεύω σε* = *εὖ πράττω σε, πειρῶ σοι ἀρέσκειν*
*καταλύω* = *παύω*
*διαπράττομαί μοι τοῦτο ποιεῖν* = *δοκεῖ μοι τοῦτο ποιεῖν*
*προβούλευμα* = *πρῶτον βούλευμα, οὐδαμῶς τὸ τελευταῖον*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τοῦτο τὸ [previous plan] …………………… γνούς, [opponent] …………………… αὐτοῦ ἐγένετο.

β) You *will see* her *putting an end to* the war.

………………………………………………………………………………………..

γ) πάντες οἱ ἄνθρωποι ἀεὶ τοὺς χρήματα ἔχοντας [try to persuade] …………………… .

δ) He controls the country *firmly.*

………………………………………………………………………………………..

ε) τοῦ βασιλέως [having died] …………………… , οἱ υἶοι [decided] …………………… τὴν χώραν καταλιπεῖν.

ζ) He *flattered* the Athenians a lot after this *had happened.*

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| one | ……………………… | to show | ……………………… |
| to hand over | ……………………… | need | ……………………… |
| clear | ……………………… | to learn | ……………………… |

## Μελέτημα 30

**Demosthenes tells us of the well-known tactics of Archidamus: by ravaging the fields, provoke the Athenians to make them go out of the walls and fight in the open field:**

γνώμῃ δὲ τοιᾷδε λέγεται τὸν Ἀρχίδαμον περί τε τὰς Ἀχαρνὰς ὡς ἐς μάχην ταξάμενον μεῖναι καὶ ἐς τὸ πεδίον ἐκείνῃ τῇ *ἐσβολῇ* οὐ καταβῆναι· τοὺς γὰρ Ἀθηναίους ἤλπιζεν, *ἀκμάζοντάς* τε *νεότητι* πολλῇ καὶ παρεσκευασμένους ἐς πόλεμον ὡς *οὔπω* πρότερον, ἴσως ἂν ἐπεξελθεῖν καὶ τὴν γῆν οὐκ ἂν *περιιδεῖν τμηθῆναι*. ἐπειδὴ οὖν αὐτῷ ἐς Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον οὐκ *ἀπήντησαν*, πεῖραν ἐποιεῖτο περὶ τὰς Ἀχαρνὰς καθήμενος εἰ ἐπεξίασιν· ἅμα μὲν γὰρ αὐτῷ ὁ χῶρος *ἐπιτήδειος* ἐφαίνετο *ἐνστρατοπεδεῦσαι*, ἅμα δὲ καὶ οἱ Ἀχαρνῆς μέγα μέρος ὄντες τῆς πόλεως (τρισχίλιοι γὰρ ὁπλῖται ἐγένοντο) οὐ περιόψεσθαι ἐδόκουν τὰ σφέτερα διαφθαρέντα, ἀλλ' *ὁρμήσειν* καὶ τοὺς πάντας ἐς μάχην.

*εἰσβολὴν ποιῶ* = *εἰς τὴν τῶν πολεμίων χώραν εἰσβάλλω*
*ἀκμάζω χρήμασι* = *πολλὰ χρήματα ἔχω*
*ἡ νεότης, -ητος* = *οἱ νεανίαι*
*οὔπω* ↔ *ἀεί*
*περιοράω* = *ἐάω, ὁρῶ καὶ οὐδὲν ποιῶ*
*τέμνω* = *διαφθείρω*
*ἀπαντάω* = *ἀνθίσταμαι, μάχομαι*
*ἐπιτήδειος* = *καίριος, ἀγαθός*
*ἐνστρατοπεδεύω* = *τὸ στράτευμα ἐνίστημι*
*ὁρμάω* ↔ *παύω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οἱ Λακεδαιμόνιοι, βουλόμενοι τῇ Ἀθηναίᾳ [youth] ……………………. μάχεσθαι, ἐκεῖ [encamped] ……………………. .

β) The enemy *destroyed* that place, a place *suitable* for cultivating.

………………………………………………………………………………………..

γ) ὁ βασιλεὺς ἐκείνῃ τῇ [invasion] ……………………. τὰς Ἀθήνας οὐχ εἷλεν.

δ) Philosophy *was flourishing* in that period.

………………………………………………………………………………………..

ε) [Never] ……………………. [they confronted] ……………………. αὐτῷ.

ζ) He *overlooked* them *urging* the enemy.

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| part | ……………………… | plan | ……………………… |
| to prepare | ……………………… | to destroy | ……………………… |
| to remain | ……………………… | to hope | ……………………… |

## Μελέτημα 31

**Xenophon shows an example of Persian discipline: army offices do not mind getting dirty when it gets to working in the mud:**

καὶ δή ποτε, *στενοχωρίας* καὶ *πηλοῦ* φανέντος ταῖς ἁμάξαις *δυσπορεύτου,* ἐπέστη ὁ Κῦρος σὺν τοῖς περὶ αὐτὸν ἀρίστοις καὶ εὐδαιμονεστάτοις καὶ ἔταξε Γλοῦν καὶ Πίγρητα λαβόντας τοῦ βαρβαρικοῦ στρατοῦ *συνεκβιβάζειν* τὰς ἁμάξας. ἐπεὶ δ' ἐδόκουν αὐτῷ *σχολαίως* ποιεῖν, ὥσπερ ὀργῇ ἐκέλευσε τοὺς περὶ αὐτὸν Πέρσας τοὺς κρατίστους *συνεπισπεῦσαι* τὰς ἁμάξας. ἔνθα δὴ μέρος τι τῆς *εὐταξίας* ἦν θεάσασθαι. ῥίψαντες γὰρ τοὺς πορφυροῦς *κάνδυς* ὅπου ἔτυχεν ἕκαστος ἑστηκώς, ἵεντο ὥσπερ ἂν δράμοι τις ἐπὶ νίκῃ καὶ μάλα κατὰ *πρανοῦς γηλόφου.*

*στενοχωρία* = *στενὸς τόπος*
*πηλός* = *γῆ ὕδατι συμμεμειγμένη*
*δυσπόρευτος, -ος, -ον* = *χαλεπὸς τῷ πορεύεσθαι*
*συνεκβιβάζω* = *σὺν τοῖς ἄλλοις ἐκφέρω*
*σχολαίως* ↔ *σπουδαίως*
*συνεπισπεύδω* = *σὺν τοῖς ἄλλοις ὁρμάω*
*εὐταξία* ↔ *ἀκολασία*
*κάνδυς, -υος ὁ* = *Περσικὸς χιτών*
*πρανής* = *ἐπικλινής, καταφερής*
γήλοφος = λόφος

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) [Lazily] …………………… προῆλθον διὰ ἐκείνου τοῦ [difficult to pass through]

…………………… τόπου.

β) I had to *collaborate to speed up* the army.

……………………………………………………………………………………..

γ) διὰ ταύτης τῆς [narrow path] …………………… ἀφικόμεθα εἰς [an inclined]

…………………… λειμῶνα.

δ) We could observe the *discipline* of those who were on that *hill.*

……………………………………………………………………………………..

ε) ηὕρομεν τὸν [Persian cloack] …………………… αὐτοῦ ἐν τῷ [mud] ……………………
κείμενον.

ζ) We *helped* them to *get* the horse *out* of the water.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to throw | ……………………… | anger | ……………………… |
| blessed | ……………………… | to appear | ……………………… |
| wagon | ……………………… | each | ……………………… |

## Μελέτημα 32

**Diodorus of Sicily offers a description of tactical movements on the battlefield between Agesilaos and the Thebans and how victory seems to be shifting between them:**

οὐ πολλῷ δ' ὕστερον χρόνῳ, πάλιν τῶν Λακεδαιμονίων τῇ αὐτῇ δυνάμει στρατευσάντων ἐπὶ τὰς Θήβας, οἱ μὲν Θηβαῖοι *δυσχωρίας* τινὰς ἑτέρας *καταλαμβανόμενοι* διεκώλυον μὲν τοὺς πολεμίους *λεηλατεῖν* τὴν χώραν, κατὰ *στόμα* δὲ πρὸς ἅπασαν τὴν δύναμιν ἐν τοῖς πεδίοις οὐκ ἐτόλμων *παρατάξασθαι*. τοῦ δ' Ἀγησιλάου προσμαχομένου, *συγκατέβησαν* [...] κατ' ὀλίγον πρὸς τὸν ἀγῶνα. γενομένης δὲ μάχης ἐπὶ πολὺν χρόνον ἰσχυρᾶς, τὸ μὲν πρῶτον οἱ περὶ τὸν Ἀγησίλαον *προετέρουν*, μετὰ δὲ ταῦτα, τῶν ἐκ τῆς πόλεως Θηβαίων *ἐκχυθέντων* πανδημεί, θεωρῶν τὸ πλῆθος τῶν *ἐπιρρεόντων* ὁ Ἀγησίλαος *ἀνεκαλέσατο* τῇ σάλπιγγι τοὺς στρατιώτας ἀπὸ τῆς μάχης.

*δυσχωρία* = *χαλεπὸς τόπος*

*καταλαμβάνω* ↔ *καταλείπω*

*λεηλατέω* = *πορθέω, διαφθείρω*

*κατὰ στόμα* = *ἐναντίων, ἐγγύς*

*παρατάττω* = *παρασκευάζω εἰς μάχην*

*συγκαταβαίνω* = *εἰς μάχην καταβαίνω*

*προτερέω* = *νικάω*

*ἐκχέομαι* = *ταχέως ἐκβαίνω*

*ἐπιρρέω* ↔ *ἀναχωρέω*

*ἀνακαλέω* = *ἀναχωρεῖν κελεύω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οἱ πολέμιοι οὐκ ἐβουλήθησαν [face to face] …………………… μάχεσθαι.

β) They *prevailed* because they *had deployed* the army correctly.

………………………………………………………………………………………..

γ) εἰς ἐκείνην τὴν [difficult place] …………………… ταχέως [they flowed in]

…………………… .

δ) The enemy *occupied* the three cities.

………………………………………………………………………………………..

ε) βραδέως ἐκ τῆς πόλεως [they poured out] …………………… καὶ [went down]

…………………… εἰς τὴν μάχην.

ζ) After *ravaging* the land, they *were called back to retreat.*

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to dare | ……………………… | trumpet | ……………………… |
| in group | ……………………… | later | ……………………… |
| again | ……………………… | plain | ……………………… |

## Μελέτημα 33

**Apollodorus tells us about the famous enigma of the Sphynx, solved by Oedipus:**

χρησμοῦ δὲ Θηβαίοις *ὑπάρχοντος τηνικαῦτα ἀπαλλαγήσεσθαι* τῆς Σφιγγὸς *ἡνίκα* ἂν τὸ αἴνιγμα λύσωσι, συνιόντες εἰς ταὐτὸ πολλάκις ἐζήτουν τί τὸ λεγόμενόν ἐστιν, ἐπεὶ δὲ μὴ εὕρισκον, ἁρπάσασα ἕνα *κατεβίβρωσκε*. πολλῶν δὲ *ἀπολομένων* καὶ τὸ τελευταῖον Αἵμονος τοῦ Κρέοντος, κηρύσσει Κρέων τῷ τὸ αἴνιγμα λύσοντι καὶ τὴν βασιλείαν καὶ τὴν Λαΐου δώσειν γυναῖκα. Οἰδίπους δὲ ἀκούσας ἔλυσεν, εἰπὼν τὸ αἴνιγμα τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον ἄνθρωπον εἶναι· γίγνεσθαι γὰρ τετράπουν *βρέφος* ὄντα τοῖς τέτταρσιν *ὀχούμενον κώλοις*, τελειούμενον δὲ δίπουν, γηρῶντα δὲ τρίτην προσλαμβάνειν *βάσιν* τὸ βάκτρον.

*ὑπάρχω* = *πάρειμι, ἐκεῖ γίγνομαι*

*τηνικαῦτα* = *τότε, ἐκείνῳ τῷ χρόνῳ*

*ἀπαλλάττω* = *ἀπωθέω, ἐκβάλλω*

*ἡνίκα* = *ὅτε*

*καταβιβρώσκω* = *κατεσθίω*

*ἀπόλλυμαι* = *ἀποθνῄσκω*

*βρέφος, -ους* = *μικρὸς παῖς οὐκέτι βαδίζων*

*ὀχέω* = *φέρω, κομίζω*

*κῶλον* = *μέρος τοῦ σώματος (εἴτε βραχίων εἴτε σκέλος)*

*βάσις, -εως* = *ποῦς*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) [When] ……………………. τὸ [baby] ……………………. δακρύει, ὁ πατὴρ πρὸς αὐτὸ τρέχει.

β) The cyclops *ate* all the *limbs* of the body.

……………………………………………………………………………………..

γ) ὁ παῖς ταῖς [feet] ……………………. [moves around] ……………………. .

δ) *At that time* the Athenians defeated all their enemies.

……………………………………………………………………………………..

ε) οὐ βουλόμενοι [to die] ……………………., τοὺς πολεμίους [they rejected]

……………………. .

ζ) This word does not *exist* in this language

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to look for | ……………………… | oracle | ……………………… |
| when | ……………………… | stick | ……………………… |
| kingdom | ……………………… | to seize | ……………………… |

## Μελέτημα 34

**Thucydides tells us that the Syracusians were in a hurry to fight the Athenians now that they seem to be weak, as not doing so would give them advantage. And the fight starts:**

Οἱ δὲ Συρακόσιοι καὶ αὐτοὶ τοῦτο πυθόμενοι πολλῷ μᾶλλον *ἐπηρμένοι* ἦσαν μὴ *ἀνιέναι* τὰ τῶν Ἀθηναίων, ὡς καὶ αὐτῶν *κατεγνωκότων* ἤδη μηκέτι κρεισσόνων εἶναι σφῶν μήτε ταῖς ναυσὶ μήτε τῷ πεζῷ (οὐ γὰρ ἂν τὸν *ἔκπλουν ἐπιβουλεῦσαι*), καὶ ἅμα οὐ βουλόμενοι αὐτοὺς ἄλλοσέ ποι τῆς Σικελίας καθεζομένους χαλεπωτέρους εἶναι προσπολεμεῖν, ἀλλ' *αὐτοῦ* ὡς τάχιστα καὶ ἐν ᾧ σφίσι συμφέρει ἀναγκάσαι αὐτοὺς ναυμαχεῖν. τὰς οὖν ναῦς ἐπλήρουν καὶ *ἀνεπειρῶντο* ἡμέρας ὅσαι αὐτοῖς ἐδόκουν ἱκαναὶ εἶναι. ἐπειδὴ δὲ καιρὸς ἦν, τῇ μὲν *προτέρᾳ* πρὸς τὰ τείχη τῶν Ἀθηναίων προσέβαλλον, καὶ ἐπεξελθόντος μέρους τινὸς οὐ πολλοῦ καὶ τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων κατά τινας πύλας *ἀπολαμβάνουσί* τε τῶν ὁπλιτῶν τινὰς καὶ *τρεψάμενοι* καταδιώκουσιν.

*ἐπαίρω* = *ἐποτρύνω, παραινέω*
*ἀνίημι* = *ἀμελέω, τὸν νοῦν οὐ προσέχω*
*καταγιγνώσκω* = *ὁμολογέω, οἶδα*
*ἔκπλους* ↔ *εἴσπλους*
*ἐπιβουλεύω* = *ποιεῖν βούλομαι, παρασκευάζω*
*αὐτοῦ* = *ἐκεῖ*
*ἀναπειράομαι* = *μελετάω, ἀσκέω*
*προτέρα* = *προτέρα ἡμέρα*
*ἀπολαμβάνω αὐτούς* = *ἀπροσδοκήτους αὐτοὺς λαμβάνω*
*τρέπομαι* = *φεύγειν ἀναγκάζω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οἱ κυβερνῆται [were practising] ........................ [sailing out] ........................ πρὸ τῆς ναυμαχίας.

β) All *recognised* that he is a great general.

...................................................................................................................

γ) οἱ ἱππεῖς [took by surprise] ........................ αὐτοὺς [there] ........................ .

δ) I do not want to *neglect* the enemy but to *rout* them.

...................................................................................................................

ε) νῦν ταῦτα πάντα [we are planning] ........................ .

ζ) *On the day before* they *exhorted* the allies.

...................................................................................................................

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| hoplite | .......................... | to get to know | .......................... |
| horseman | .......................... | to fill | .......................... |
| opportunity | .......................... | infantry | .......................... |

## Μελέτημα 35

**Isocrates knows that, in order to encourage war, those in favour of fighting against Persia will mention all the benefits that others obtained in former wars against that country, but he also wants to speak about those who were not so successful:**

Περὶ μὲν οὖν τούτων οὐδεὶς ἂν ἀντειπεῖν τῶν εὖ *φρονούντων* τολμήσειεν, οἶμαι δὲ τῶν μὲν ἄλλων εἴ τισιν δόξειε περὶ τῆς στρατείας τῆς εἰς τὴν Ἀσίαν *συμβουλεύειν*, [τινὰς] ἐπὶ ταύτην ἂν *ἐπιπεσεῖν* τὴν *παράκλησιν*, λέγοντας ὡς ὅσοι περ *ἐπεχείρησαν* πρὸς τὸν βασιλέα πολεμεῖν, ἅπασιν *συνέπεσεν* ἐξ *ἀδόξων* μὲν γενέσθαι λαμπροῖς, ἐκ πενήτων δὲ πλουσίοις, ἐκ *ταπεινῶν* δὲ πολλῆς χώρας καὶ πόλεων δεσπόταις. Ἐγὼ δ' οὐκ ἐκ τῶν τοιούτων μέλλω σε *παρακαλεῖν*, ἀλλ' ἐκ τῶν *ἠτυχηκέναι* δοξάντων, λέγω δ' ἐκ τῶν μετὰ Κύρου καὶ Κλεάρχου συστρατευσαμένων.

*φρονῶ εὖ* = *σοφός τε καὶ σωφρών εἰμι*

*συμβουλεύω τοῦτο ποιεῖν* = *νομίζω δεῖν τοῦτο ποιεῖν*

*ἐπιπίπτω ἐπὶ τοῦτο* = *χρῶμαι τούτῳ*

*παράκλησις, -εως* = *παραίνεσις, τοῦτο ᾧ βούλομαι ἄλλους πείθειν*

*ἐπιχειρέω* = *πειράω, ἄρχομαι ποιῶν*

*συμπίπτει μοι* = *γίγνεταί μοι, τυγχάνω*

*ἄδοξος, -ον* ↔ *ἔνδοξος*

*ταπεινός* = *ἄνευ χρημάτων, ἄνευ φήμης, πένης*

*παρακαλέω* = *ἐρωτάω, ἐξετάζω*

*ἀτυχέω* = *κακῶς πράττω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) [Those who have bad luck] …………………… ἀεὶ ἐπὶ τὰς αὐτὰς προφάσεις [resort to]

…………………… .

β) Although he had *no fame,* he made this *exhortation* to the soldiers.

…………………………………………………………………………………………..

γ) ἴσως [humble] …………………… εἰσίν, ἀλλὰ ἄριστα [they use their mind]

…………………… .

δ) They *advised* not to make war against Persia.

…………………………………………………………………………………………..

ε) τοῦτό μοι [happened] …………………… , ὅτι με περὶ τούτου [he questioned]

…………………… .

ζ) We *tried* to arrive there in time.

…………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| famous | ……………………… | poor | ……………………… |
| as many as | ……………………… | to reply | ……………………… |
| to dare | ……………………… | master | ……………………… |

## Μελέτημα 36

**Plato tells us that Thrasymachos is fed up with not being allowed into the conversation and finally butts in quite abruptly:**

Καὶ ὁ Θρασύμαχος πολλάκις μὲν καὶ διαλεγομένων ἡμῶν μεταξὺ *ὥρμα ἀντιλαμβάνεσθαι* τοῦ λόγου, ἔπειτα ὑπὸ τῶν παρακαθημένων διεκωλύετο βουλομένων διακοῦσαι τὸν λόγον· ὡς δὲ διεπαυσάμεθα καὶ ἐγὼ ταῦτ' εἶπον, οὐκέτι ἡσυχίαν ἦγεν, ἀλλὰ *συστρέψας* ἑαυτὸν ὥσπερ θηρίον ἧκεν ἐφ' ἡμᾶς ὡς *διαρπασόμενος*. Καὶ ἐγώ τε καὶ ὁ Πολέμαρχος *δείσαντες διεπτοήθημεν*· ὁ δ' εἰς τὸ μέσον *φθεγξάμενος*, Τίς, ἔφη, ὑμᾶς πάλαι *φλυαρία* ἔχει, ὦ Σώκρατες; καὶ τί *εὐηθίζεσθε* πρὸς ἀλλήλους *ὑποκατακλινόμενοι* ὑμῖν αὐτοῖς;

*ὁρμάω γράφειν* = *ἄρχομαι γράφειν, πειρῶ γράφειν*
*ἀντιλαμβάνομαι τούτου* = *λαμβάνω τοῦτο ὃ νῦν ἄλλοι ἔχουσιν*
*συστρέφω ἐμαυτόν* = *παρασκευάζομαί τε καὶ ἐποτρύνω ἐμαυτόν*
*διαρπάζω* = *ἐν πολλοῖς μέρεσι σχίζω, παντελῶς διαφθείρω*
*δείδω* = *φοβέομαι*
*διαπτοέω* = *φοβέω, ἐκπλήττω*
*φθέγγομαι* = *βοάω, μεγάλῃ φωνῇ λέγω*
*φλυαρία* = *μικρότατον χρῆμα ὃ οὐδενὸς ἄξιόν ἐστιν*
*εὐηθίζω* = *εὐήθης εἰμί, μῶρος εἰμί*
*ὑποκατακλίνομαί* = *εἴκω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τὸ θηρίον [tore apart] …………………… τὸν κυνηγέτην.

β) They *felt fear* when they heard that man *bawling out*.

………………………………………………………………………………………..

γ) ῥᾴδιόν ἐστιν [to make an attempt to] …………………… μέμφεσθαι [those who are simple-minded] …………………… .

δ) I *scared* them because they *were yielding*.

………………………………………………………………………………………..

ε) τοῦ ἄρχοντος ἀποθανόντος, οἱ στρατηγοὶ [took control of] …………………… τῆς πόλεως.

ζ) I had to *gather myself up* to say such a *nonsense*.

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| as if | ……………………… | beast | ……………………… |
| each other | ……………………… | calm | ……………………… |
| to prevent | ……………………… | like | ……………………… |

## Μελέτημα 37

**Andocides tells us about the disastrous decision of the Athenians of not accepting a treaty offer from Syracusa and its bad consequences, followed by another bad decision:**

Συρακόσιοι δ' ὅτε ἦλθον ἡμῶν *δεόμενοι*, *φιλότητα* μὲν ἀντὶ *διαφορᾶς* ἐθέλοντες, εἰρήνην δ' ἀντὶ πολέμου ποιεῖσθαι, τήν τε συμμαχίαν ἀποδεικνύντες ὅσῳ *κρείττων* ἡ *σφετέρα* εἴη τῆς Ἐγεσταίων καὶ Καταναίων, εἰ βουλοίμεθα πρὸς αὐτοὺς ποιεῖσθαι, ἡμεῖς τοίνυν *εἱλόμεθα* καὶ τότε πόλεμον μὲν ἀντὶ εἰρήνης, Ἐγεσταίους δὲ ἀντὶ Συρακοσίων, στρατεύεσθαι δ' εἰς Σικελίαν ἀντὶ τοῦ μένοντες οἴκοι συμμάχους ἔχειν Συρακοσίους· ἐξ ὧν πολλοὺς μὲν Ἀθηναίων ἀπολέσαντες *ἀριστίνδην* καὶ τῶν συμμάχων, πολλὰς δὲ ναῦς καὶ χρήματα καὶ δύναμιν ἀποβαλόντες, αἰσχρῶς *διεκομίσθησαν* οἱ σωθέντες αὐτῶν. ὕστερον δὲ ὑπ' Ἀργείων ἐπείσθημεν, οἵπερ νῦν *ἥκουσι* πείθοντες πολεμεῖν, πλεύσαντες ἐπὶ τὴν Λακωνικὴν εἰρήνης ἡμῖν οὔσης πρὸς Λακεδαιμονίους *ἐντεῖναι* αὐτῶν τὸν θυμόν, ἀρχὴν πολλῶν κακῶν.

*δέομαι σοῦ* = *αἰτέω σε*
*φιλότης, -ητος* = *φιλία ↔ διαφορά*
*διαφορά* = *ἔχθρα, δύσνοια ↔ φιλότης*
*κρείττων* = *ἀμείνων*
*σφέτερος* = *ἑαυτοῦ, ἑαυτῆς, ἑαυτῶν*
*αἱρέομαι* = *μᾶλλον βούλομαι*
*ἀριστίνδην* = *κατὰ τὴν ἀριστείαν (πρῶτον μὲν οἱ ἄριστοι, ἔπειτα δὲ οἱ ἄλλοι)*
*διακομίζω* = *φέρω*
*ἥκω* = *ἀφικόμενος πάρειμι*
*ἐντείνω* = *ὀργίζω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οἱ νεανίαι [first the best ones] ……………………. τὰς πρὸς τοὺς Λακεαδιμονίους

[differences] ……………………. ἔδειξαν.

β) *After arriving* he said that *his* brother had won.

……………………………………………………………………………………..

γ) καθ' ἡμέραν [he asked] ……………………. μου τὰ χρήματα ἀποδοῦναι.

δ) I *prefer* to *take* them to Athens.

……………………………………………………………………………………..

ε) [He made angry] ……………………. τοὺς τὸ πρότερον [friendship] …………………….

πρὸς αὐτὸν ἔχοντας

ζ) I see a *stronger* spirit in him than in myself.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| at home | ……………………… | when | ……………………… |
| shameful | ……………………… | instead of | ……………………… |
| alliance | ……………………… | to save | ……………………… |

## Μελέτημα 38

**Dio Chrysostom tells us why being a sculptor is so difficult, and moreover, no matter what a popular saying may declare, it is much more difficult to deceive the eyes than the ears:** (given the difficulty of the passage, some additional help has been supplied)

τὸ δὲ πάντων χαλεπώτατον, ἀνάγκη [ἐστὶ] παραμένειν τῷ *δημιουργῷ* τὴν εἰκόνα ἐν τῇ ψυχῇ τὴν αὐτὴν ἀεί, *μέχρις* ἂν ἐκτελέσῃ τὸ ἔργον, πολλάκις καὶ πολλοῖς ἔτεσι. καὶ δὴ τὸ λεγόμενον, ὡς ἔστιν ἀκοῆς πιστότερα ὄμματα, ἀληθὲς ἴσως [ἐστίν]· πολύ γε μὴν *δυσπειστότερα* καὶ πλείονος δεόμενα *ἐναργείας*. ἡ μὲν γὰρ *ὄψις* αὐτοῖς τοῖς ὁρωμένοις *συμβάλλει*, τὴν δὲ ἀκοὴν οὐκ ἀδύνατον [ἐστὶ ποιητήν τινα] *ἀναπτερῶσαι* καὶ *παραλογίσασθαι, μιμήματα* εἰσπέμποντα *γεγοητευμένα* μέτροις καὶ ἤχοις.

*δημιουργός* = *ἄνθρωπος ὅς ταῖς χερσὶν ἐργάζεται*

*μέχρις ἂν τὴν βίβλον γράφῃς* = *οὐδέποτε πρίν σε τὴν βίβλον γράφειν*

*δυσπειστός ἐστιν ὁ παῖς* = *χαλεπόν ἐστι τὸν παῖδα πείθειν*

*ἐνάργεια* ↔ *σκότος*

*ὄψις* = *ὃ ὁρῶμεν, θέαμα*

*συμβάλλω* = *ὁμολογέω, συμφωνέω*

*ἀναπτερόω* = *ἐποτρύνω, παρορμάω*

*παραλογίζομαι* = *ἀπατάω*

*μίμημα* = *εἰκών, εἴδωλον*

*γοητεύω* = *μαγεύω, θαυμαστὸν ποιῶ*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) διὰ τί οὕτω [mistrustful] …………………… εἶ; ἐγὼ αὐτὸς τοῦτο τὸ [image] …………………… ἐποίησα!

β) The action did not *agree* with Pericles' plan.

……………………………………………………………………………………..

γ) πειράσομαι τὸν [worker] …………………… [to deceive] …………………… μῦθόν τινα λέγων.

δ) I hate darkness, I prefer *clarity*.

……………………………………………………………………………………..

ε) οὗτος ὁ ἀνὴρ ἀεὶ πάντας [enchanted] …………………… [until] …………………… αὐτῷ παύσασθαι ἔδοξε τοῦτο ποιῶν.

ζ) He was encouraged by the sight of the battle.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| year | ……………………… | image | ……………………… |
| sound | ……………………… | difficult | ……………………… |
| to finish | ……………………… | impossible | ……………………… |

## Μελέτημα 39

**Thucydides speaks of a siege in which the Spartans ask the Athenians for help to take the besieged city, but later, because of some suspicion, they change their mind and ask them to leave:**

Λακεδαιμόνιοι δέ, ὡς αὐτοῖς πρὸς τοὺς ἐν Ἰθώμῃ *ἐμηκύνετο* ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους καὶ Ἀθηναίους· οἱ δ' ἦλθον Κίμωνος στρατηγοῦντος πλήθει οὐκ ὀλίγῳ. μάλιστα δ' αὐτοὺς ἐπεκαλέσαντο ὅτι τειχομαχεῖν ἐδόκουν δυνατοὶ εἶναι, τοῖς δέ, πολιορκίας μακρᾶς *καθεστηκυίας,* τούτου *ἐνδεᾶ* ἐφαίνετο· βίᾳ γὰρ ἂν εἷλον τὸ χωρίον. καὶ διαφορὰ ἐκ ταύτης τῆς στρατείας πρῶτον Λακεδαιμονίοις καὶ Ἀθηναίοις φανερὰ ἐγένετο. οἱ γὰρ Λακεδαιμόνιοι, ἐπειδὴ τὸ χωρίον βίᾳ οὐχ *ἡλίσκετο*, *δείσαντες* τῶν Ἀθηναίων τὸ τολμηρὸν καὶ τὴν *νεωτεροποιίαν*, καὶ [αὐτοὺς] *ἀλλοφύλους* ἅμα ἡγησάμενοι, μή τι, ἢν παραμείνωσιν, ὑπὸ τῶν ἐν Ἰθώμῃ πεισθέντες *νεωτερίσωσι*, μόνους τῶν ξυμμάχων ἀπέπεμψαν, τὴν μὲν *ὑποψίαν* οὐ δηλοῦντες, εἰπόντες δὲ ὅτι οὐδὲν *προσδέονται* αὐτῶν ἔτι.

*μηκύνω τὸν πολεμον* = *οὐκ ἐῶ τὸν πόλεμον τέλος ἔχειν*

*καθέστηκα* = *μένω, τέλος οὐκ ἔχω*

*ἐνδεής* ↔ *ἔχων*

*ἁλίσκομαι* = *αἱρέομαι, νικάομαι*

*δείδω* = *φοβέομαι*

*νεωτεροποιία* = *τοῦ πάντα μεταβάλλειν ἐπιθυμία*

*ἀλλόφυλος* = *ἐξ ἄλλου γένους*

*νεωτερίζω* = *πειρῶ πάντα μεταβάλλειν, πρὸς τοὺς ἄρχοντας μάχομαι*

*ὑποψία* < *ὑποπτεύω*

*προσδέομαι* = *αἰτέω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ἡ πόλις ῥᾳδίως [was taken] ........................ .

β) I *feared* that they might *make a revolution.*

..........................................................................................................

γ) ἐκείνη ἡ [suspicion] ........................ ἔτι καὶ νῦν [remains] ........................ παρὰ τοῖς πολίταις.

δ) Those *men from another race* were *in need* of water.

..........................................................................................................

ε) [They requested] ........................ αὐτοῦ μὴ τὴν μάχην [to lengthen] ........................ .

ζ) He decided to become the leader of *the revolution.*

..........................................................................................................

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| able | ........................... | crowd | ........................... |
| to be general | ........................... | to appear | ........................... |
| to persuade | ........................... | to convoke | ........................... |

## Μελέτημα 40

**Apollodorus tells us about both Heracles and his opponent recruiting an army, then something unexpected prevents him from winning, but finally after an initial defeat he beats the enemy:**

Μετ' οὐ πολὺ δὲ ἐπ' Αὐγείαν ἐστρατεύετο, *συναθροίσας* Ἀρκαδικὸν στρατὸν καὶ παραλαβὼν ἐθελοντὰς τῶν ἀπὸ τῆς Ἑλλάδος ἀριστέων. Αὐγείας δὲ τὸν ἀφ' Ἡρακλέους πόλεμον ἀκούων κατέστησεν Ἠλείων στρατηγοὺς Εὔρυτον καὶ Κτέατον *συμφυεῖς*, οἳ δυνάμει τοὺς τότε ἀνθρώπους *ὑπερέβαλλον*, παῖδες δὲ ἦσαν Μολιόνης καὶ Ἄκτορος, ἐλέγοντο δὲ Ποσειδῶνος· Ἄκτωρ δὲ ἀδελφὸς ἦν Αὐγείου. *συνέβη* δὲ Ἡρακλεῖ κατὰ τὴν στρατείαν νοσῆσαι· διὰ τοῦτο καὶ σπονδὰς πρὸς τοὺς Μολιονίδας ἐποιήσατο. οἱ δὲ ὕστερον, *ἐπιγνόντες* αὐτὸν νοσοῦντα, ἐπιτίθενται τῷ στρατεύματι καὶ κτείνουσι πολλούς. τότε μὲν οὖν *ἀνεχώρησεν* Ἡρακλῆς. αὖθις δὲ τῆς τρίτης *ἰσθμιάδος τελουμένης*, Ἠλείων τοὺς Μολιονίδας πεμψάντων *συνθύτας*, ἐν Κλεωναῖς *ἐνεδρεύσας* τούτους Ἡρακλῆς ἀπέκτεινεν.

*συναθροίζω = ἅμα εἰς τὸν αὐτὸν τόπον ἄγω, ἅμα ἀγείρω*
*συμφυής, -ές = τὴν αὐτὴν φύσιν / τὸν αὐτὸν νοῦν ἔχων*
*ὑπερβάλλω αὐτόν = ἀμείνων εἰμὶ αὐτοῦ*
*συμβαίνει = γίγνεται*
*ἐπιγιγνώσκω = αἰσθάνομαι, ἀκούω*
*ἀναχωρέω = ἀπὸ τῆς μάχης ἀπέρχομαι καὶ φεύγω*
*ἰσθμιάς, -άδος ἡ = ἀγὼν ἐν τῷ ἰσθμῷ γιγνόμενος*
*τελέομαι = τέλος ἔχω, τελευτάω*
*συνθύτης, -ου = ὅς σὺν ἄλλοις θυσίαν ποιεῖ*
*ἐνεδρεύω = ἐμαυτὸν κρύπτω ὡς ἐπιβαλῶν*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) περὶ τούτου [having heard] ……………………. , ἐνουθέτησαν [those who were making a sacrifice together] …………………… .

β) When the battle *finished,* the enemy *withdrew.*

………………………………………………………………………………………..

γ) οὗτοι οἱ δύο ἀδελφοὶ [equal in mind] ……………………. εἰσιν.

δ) They *gathered* many athletes for the *Isthmian games.*

………………………………………………………………………………………..

ε) τί [happened] ……………………. χθὲς ἐν τῇ πόλει;

ζ) *Making an ambush* they *defeated* them completely.

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| third | ……………………… | against | ……………………… |
| to kill | ……………………… | to appoint | ……………………… |
| treaty | ……………………… | brother | ……………………… |

## Μελέτημα 41

**Appian comments about the suspicion that Julius Caesar was involved in Catilina's conspiracy, but Cicero prefers not to accuse him, and Caesar makes some proposals about what to do with the arrested conspirators:** (some help provided with a case and also in the last line combining the two parts of a periphrastical verbal form)

Γάιός τε Καῖσαρ οὐ *καθαρεύων* μὲν ὑπονοίας μὴ *συνεγνωκέναι* τοῖς ἀνδράσι, Κικέρωνος δ' οὐ θαρροῦντος καὶ τόνδε, *ὑπεραρέσκοντα* τῷ δήμῳ, ἐς τὸν ἀγῶνα προβαλέσθαι, *προσετίθει διαθέσθαι* τοὺς ἄνδρας Κικέρωνα τῆς Ἰταλίας ἐν πόλεσιν αἷς ἂν αὐτὸς δοκιμάσῃ, μέχρι Κατιλίνα (Gen.) *καταπολεμηθέντος* ἐς δικαστήριον *ὑπαχθῶσι*, καὶ μηδὲν *ἀνήκεστον* ἐς ἄνδρας *ἐπιφανεῖς* ἦ πρὸ λόγου καὶ δίκης *ἐξειργασμένος* (ἦ … ἐξειργασμένος).

*καθαρεύω* = *καθαρός εἰμι, ἀναίτιός εἰμι*

*συγγιγνώσκω* = *ὁμολογέω*

*ὑπεραρέσκω* = *μάλιστα ἀρέσκω, πάντες με μάλιστα φιλοῦσιν*

*προστίθημί σε τοῦτο ποιεῖν* = *νομίζω δεῖν σε τοῦτο ποιεῖν*

*διατίθημι αὐτούς* = *τίθημι ἄλλους ἐν ἄλλοις τόποις*

*καταπολεμῶ αὐτόν* = *ἐν πολέμῳ νικῶ αὐτόν*

*ὑπάγω* = *βίᾳ φέρω*

*ἀνήκεστος* = *ἀμετάβλητος*

*ἐπιφανής* = *ἔνδοξος*

*ἐξεργάζομαι* = *πράττω, ποιέω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ὁ Περικλῆς πᾶσι [was very pleasant] ........................ καίπερ [famous] ........................ οὐκ ὤν.

β) We must *distribute* them around Greece.

.................................................................................................................

γ) νομίζω αὐτὸν οὐκ [be without guilt] ........................ , δεῖ δὲ αὐτὸν πρὸς τοὺς ἄρχοντας [be taken] ........................ .

δ) They *proposed* not to do anything *that would have no remedy.*

.................................................................................................................

ε) ἐπειδὴ τοσαυτα κακὰ [he carried out] ........................ , ταχέως [he was defeated in battle] ........................ .

ζ) They *were in connivance* with the enemy.

.................................................................................................................

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to dare | .......................... | suspicion | .......................... |
| to decide | .......................... | courtroom | .......................... |
| nothing | .......................... | struggle | .......................... |

## Μελέτημα 42

**Xenophon tells us of Cyrus' efforts to recruit an army against Tissaphernes, the latter's reaction to Cyrus' move, etc.:**

ὧδε οὖν ἐποιεῖτο τὴν *συλλογήν*. ὁπόσας εἶχε φυλακὰς ἐν ταῖς πόλεσι παρήγγειλε τοῖς *φρουράρχοις* ἑκάστοις λαμβάνειν ἄνδρας Πελοποννησίους ὅτι πλείστους καὶ βελτίστους, ὡς ἐπιβουλεύοντος Τισσαφέρνους ταῖς πόλεσι. καὶ γὰρ ἦσαν αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους τὸ ἀρχαῖον, ἐκ βασιλέως δεδομέναι, τότε δὲ *ἀφειστήκεσαν* πρὸς Κῦρον πᾶσαι πλὴν Μιλήτου· ἐν Μιλήτῳ δὲ Τισσαφέρνης *προαισθόμενος* [αὐτοὺς] τὰ αὐτὰ ταῦτα βουλευομένους, ἀποστῆναι πρὸς Κῦρον, τοὺς μὲν αὐτῶν ἀπέκτεινε, τοὺς δ' ἐξέβαλεν. ὁ δὲ Κῦρος *ὑπολαβὼν* τοὺς φεύγοντας, *συλλέξας* στράτευμα, ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν καὶ ἐπειρᾶτο *κατάγειν* τοὺς *ἐκπεπτωκότας*. καὶ αὕτη αὖ ἄλλη *πρόφασις* ἦν αὐτῷ τοῦ *ἀθροίζειν* στράτευμα.

*συλλογὴν ποιῶ* = *στρατιώτας δέχομαι ἵνα στράτευμά τι καθιστῶ*
*φρούραρχος* = *ὁ φρουρᾶς (φυλακῆς) τινὸς ἄρχων*
*ἀφίσταμαι* = *τοὺς ἐμοὺς καταλιπὼν πρὸς τοὺς πολεμίους διαβαίνω*
*προαισθάνομαι* = *αἰσθάνομαι εἰς καιρὸν πρίν τι γίγνεσθαι*
*ὑπολαμβάνω* = *δέχομαι*
*συλλέγω* ↔ *διασπείρω*
*κατάγω αὐτόν* = *αὖθις αὐτὸν ἄγω ἐκεῖσε οὗ τὸ πρότερον ἦν*
*ἐκπίπτω* = *ἐκβάλλομαι ἐκ τῆς χώρας*
*πρόφασις* = *ψευδὴς αἰτία*
*ἀθροίζω* = *συλλέγω, ἅμα τίθημι*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τὴν κακὴν [excuse] ……………………. ἀκούσασα, ἡ γυνὴ αὐτίκα πάντα [realised on time] ……………………. .

β) After the war, the Athenians *received* all fugitives.

……………………………………………………………………………………..

γ) ἐκ τῆς πόλεως [he was expelled] ……………………. μετὰ [the recruitment] ……………………. .

δ) *After recruiting* many soldiers, he left.

……………………………………………………………………………………..

ε) χθὲς οἱ [captains of the garrisons] ……………………. τοὺς φυγάδας [put back in their former place] ……………………. .

ζ) After gathering many soldiers, they defected.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| beginning | ……………………… | guard post | ……………………… |
| each | ……………………… | thus | ……………………… |
| except | ……………………… | to conspire | ……………………… |

## Μελέτημα 43

**Diodorus of Sicily presents an episode of ships carrying food and of some soldiers really in need of it:**

Μετὰ δὲ ταῦτα Διονύσιος μὲν στρατηγὸν *ἀπέστειλεν* εἰς τὰς Συρακούσας Νύψιον τὸν Νεαπολίτην, ἀνδρείᾳ καὶ *συνέσει* στρατηγικῇ διαφέροντα· συνεξέπεμψε δ' αὐτῷ καὶ *φορτηγὰ* πλοῖα σίτου καὶ τῆς ἄλλης ἀγορᾶς *γέμοντα*. οὗτος μὲν οὖν ἐκ Λοκρῶν *ἀναχθεὶς ἐτέλει* τὸν εἰς Συρακούσας πλοῦν. οἱ δὲ κατὰ τὴν ἀκρόπολιν μισθοφόροι τοῦ τυράννου, κατὰ τοῦτον τὸν καιρὸν *ἐπιλιπόντος* τοῦ σίτου, καὶ τῇ *σπάνει* τῶν ἀναγκαίων δεινῶς *πιεζούμενοι,* μέχρι μέν τινος [χρόνου] ὑπέμενον εὐψύχως τὴν *ἔνδειαν*.

*ἀποστέλλω* = *ἀποπέμπω*

*σύνεσις* = *σοφία*

*φορτηγός, -ός, -όν* = *ὅς κατὰ θάλατταν φόρτια (σῖτον κτλ.) φέρει*

*γέμω* = *πληρής εἰμι*

*ἀνάγομαι* = *εἰς τὴν θάλατταν ἀποπλέω*

*τελέω τὸν πλοῦν* = *πλέων ἀφικνέομαι*

*ἐπιλείπω* = *οὐχ ὑπάρχω, οὐχ ἱκανός εἰμι*

*σπάνις* ↔ *εὐπορία*

*πιέζω* = *λυπέω, βαρύνω*

*ἔνδεια* = *τὸ μὴ ἔχειν*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τὰς [cargo] …………………… ναῦς τῆς [lack of supplies] …………………… ἕνεκα

ἐπέμψαμεν.

β) He *completed* the journey within five days.

……………………………………………………………………………………..

γ) [He was sent] …………………… ὡς τοὺς πολίτας [to oppress] …………………… .

δ) *There is a lack* of water, we need to send a ship *full* of water.

……………………………………………………………………………………..

ε) τέτταρες ναῦς [were taken to sea] …………………… .

ζ) His *cleverness* prevented the *lack* of food.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| mercenary | ……………………… | after | ……………………… |
| bravery | ……………………… | until | ……………………… |
| ship | ……………………… | navigation | ……………………… |

## Μελέτημα 44

**Thucydides shows that the Athenians which in that moment were in Sparta decide to tell the Spartans to think twice before going to war:** (help with a postponed preposition provided)

Τοιαῦτα μὲν οἱ Κορίνθιοι εἶπον. τῶν δὲ Ἀθηναίων ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ Λακεδαίμονι περὶ ἄλλων παροῦσα, καὶ ὡς ᾔσθοντο τῶν λόγων, ἔδοξεν αὐτοῖς *παριτητέα* ἐς τοὺς Λακεδαιμονίους εἶναι, τῶν μὲν *ἐγκλημάτων* πέρι (περὶ τῶν εγκλημάτων) μηδὲν *ἀπολογησομένους* ὧν αἱ πόλεις *ἐνεκάλουν*, δηλῶσαι δὲ περὶ τοῦ παντὸς ὡς οὐ ταχέως αὐτοῖς *βουλευτέον* εἴη, ἀλλ' ἐν πλέονι *σκεπτέον*. καὶ ἅμα τὴν σφετέραν πόλιν ἐβούλοντο *σημῆναι* ὅση εἴη δύναμιν, καὶ *ὑπόμνησιν* ποιήσασθαι τοῖς τε πρεσβυτέροις ὧν ᾔδεσαν καὶ τοῖς νεωτέροις *ἐξήγησιν* ὧν *ἄπειροι* ἦσαν, νομίζοντες μᾶλλον ἂν αὐτοὺς ἐκ τῶν λόγων πρὸς τὸ ἡσυχάζειν τραπέσθαι ἢ πρὸς τὸ πολεμεῖν.

*παριτητέον ἐστί* = *δεῖ παριέναι*
*ἔγκλημα* = *κατηγορία, αἰτία, μέμφις*
*ἀπολογέομαι* = *λέγω ὅτι οὐκ αἴτιός εἰμι*
*ἐγκαλέω* = *κατηγορέω, μέμφομαι*
*βουλευτέον ἐστί* = *δεῖ βουλεύεσθαι*
*σκεπτέον* = *δεῖ σκέπτεσθαι*
*σημαίνω* = *δηλόω*
*ὑπόμνησιν ποιῶ σοι* = *οὐκ ἐάω σε ἐπιλανθάνεσθαι*
*ἐξήγησις* < *ἐξηγέομαι*
*ἄπειρος, -ον* ↔ *ἔμπειρος*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ὁ Σωκράτης [inexperienced] ……………………. ἦν περὶ τοῦ [defending himself]

……………………. .

β) *Remind* him that it is *necessary to deliberate* this matter slowly.

…………………………………………………………………………………..

γ) εἰς τὰς Ἀθήνας μοι [to pop by] ……………………. ἐστίν.

δ) He did not make any *explanation,* he *complained* about that.

…………………………………………………………………………………..

ε) ταχέως μοι τὰ [complaints] ……………………. [they indicated] ……………………. .

ζ) This plan *must be considered* as slowly as possible.

…………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| quick | ……………………… | power | ……………………… |
| to get to know | ……………………… | embassy | ……………………… |
| such | ……………………… | to show | ……………………… |

## Μελέτημα 45

**Demosthenes tells the Athenians how their ancestors dealt with Alcibiades, given all he had done for the people, and recounts his merits and those of his ancestors:**

Λέγεται τοίνυν ποτ' ἐν τῇ πόλει κατὰ τὴν παλαιὰν ἐκείνην εὐδαιμονίαν Ἀλκιβιάδης γενέσθαι, ᾧ, *σκέψασθε,* τίνων *ὑπαρχόντων* καὶ ποίων τινῶν πρὸς τὸν δῆμον, πῶς ἐχρήσανθ' ὑμῶν οἱ πρόγονοι, ἐπειδὴ *βδελυρὸς* καὶ ὑβριστὴς *ᾤετο* δεῖν εἶναι. […] ἐκεῖνος γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, λέγεται *πρὸς* πατρὸς μὲν Ἀλκμεωνιδῶν εἶναι (τούτους δέ φασιν ὑπὸ τῶν τυράνων ὑπὲρ τοῦ δήμου *στασιάζοντας ἐκπεσεῖν*, καὶ *δανεισαμένους* χρήματ' ἐκ Δελφῶν ἐλευθερῶσαι τὴν πόλιν καὶ τοὺς Πεισιστράτου παῖδας ἐκβαλεῖν), πρὸς δὲ μητρὸς Ἱππονίκου καὶ ταύτης τῆς οἰκίας ἧς ὑπάρχουσι πολλαὶ καὶ μεγάλαι πρὸς τὸν δῆμον εὐεργεσίαι. οὐ μόνον δὲ ταῦθ' ὑπῆρχεν αὐτῷ, ἀλλὰ καὶ αὐτὸς ὑπὲρ τοῦ δήμου θέμενος τὰ ὅπλα *δὶς* μὲν ἐν Σάμῳ, τρίτον δ' ἐν αὐτῇ τῇ πόλει, τῷ σώματι τὴν εὔνοιαν, οὐ χρήμασιν οὐδὲ λόγοις, *ἐνεδείξατο* τῇ πατρίδι.

*σκέπτομαι* = *σκοπέω, θεάομαι*

*ὑπάρχει τοῦτό μοι* = *τοῦτο δείκνυσί με ἀγαθὸν ἄνθρωπον ὄντα*

*βδελυρός* ↔ *ἡδύς, γλυκύς*

*οἴομαι* = *νομίζω*

*πρὸς τοῦ βασιλέως* = *ἀπὸ τοῦ βασιλέως*

*στασιάζω* = *πειρῶ τοὺς ἄρχοντας ἐκβαλεῖν*

*ἐκπίπτω* = *οἵ ἄρχοντες ἐκβάλλουσί με ἐκ τῆς χώρας*

*δανείζω* = *ἀλλότρια χρήματα δέχομαι*

*δίς* = *ἅπαξ, δίς, τρίς, τετράκις, ...*

*ἐνδείκνυμι* = *δείκνυμι*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οἱ πολῖται [thought] …………………… πάντας τοὺς κακοὺς ἄρχοντας [to have been expelled] …………………… .

β) *On* his mother's *side,* he was a real Athenian.

……………………………………………………………………………………

γ) οἱ πολῖται [twice] …………………… [revolted] …………………… .

δ) You must *observe* how *revolting* he is.

……………………………………………………………………………………

ε) τίνες ἀγαθαὶ πράξεις [speak in favour] …………………… σοι;

ζ) I will *show* that he *borrowed* money.

……………………………………………………………………………………

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to deal with | ……………………… | good deed | ……………………… |
| benevolence | ……………………… | insolent | ……………………… |
| old | ……………………… | happiness | ……………………… |

## Μελέτημα 46

**Plato, after dealing with the cases in which death penalty should be applied, now moves on to present in what kind of circumstances somebody who has killed another would be declared innocent:** (help with word order provided)

Καὶ τὰ μὲν περὶ τὰ τοιαῦτα μέχρι τούτων οὕτως [ἔστω]· ὧν δὲ ὁ κτείνας ἐφ' οἷς (ἐφ' οἷς ὁ κτείνας) τε ὀρθῶς ἂν *καθαρὸς* εἴη, τάδε ἔστω· *Νύκτωρ φῶρα* εἰς οἰκίαν εἰσιόντα ἐπὶ *κλοπῇ* χρημάτων ἐὰν ἑλὼν κτείνῃ, καθαρὸς ἔστω· καὶ ἐὰν *λωποδύτην* ἀμυνόμενος ἀποκτείνῃ, καθαρὸς ἔστω· καὶ ἐὰν ἐλευθέραν γυναῖκα βιάζηταί τις ἢ παῖδα περὶ τὰ ἀφροδίσια, *νηποινὶ* τεθνάτω ὑπό τε τοῦ ὑβρισθέντος βίᾳ καὶ ὑπὸ πατρὸς ἢ ἀδελφῶν ἢ ὑέων· ἐάν τε ἀνὴρ *ἐπιτύχῃ* γαμετῇ γυναικὶ βιαζομένῃ, κτείνας τὸν βιαζόμενον ἔστω καθαρὸς ἐν τῷ νόμῳ· καὶ ἐάν τις πατρὶ *βοηθῶν* θάνατον, μηδὲν *ἀνόσιον* δρῶντι, κτείνῃ τινά, ἢ μητρὶ ἢ τέκνοις ἢ ἀδελφοῖς […], πάντως καθαρὸς ἔστω.

*καθαρός* = *ἀναίτιος*

*νύκτωρ* ↔ *τῆς ἡμέρας*

*φώρ, φωρός* = *ἄνθρωπος ὅς κλέπτει*

*κλοπή* < *κλέπτω*

*λωποδύτης, -ου* = *φώρ*

*νηποινί* = *ἄνευ κολάσεως*

*ἐπιτυγχάνω σοι* = *τύχῃ εὑρίσκω σε*

*βοηθέω σοι θάνατον* = *σῴζω σε τοῦ ἀποθανεῖν*

*ἀνόσιος, -ος, -ον* = *ἀσεβής*

*δράω* = *ποιέω, πράττω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οἱ [thieves] ........................ πολλὰ [sacrilegious acts] ........................ ἐποίησαν.

β) I *came across* him *at night*.

..................................................................................................................

γ) εἰς τὴν οἰκίαν εἰσέβη [theft] ........................ ἕνεκα.

δ) Although he *has done* this, they consider him *innocent*.

..................................................................................................................

ε) οἱ [thieves] ........................ αὐτῷ θάνατον [saved his life] ........................ .

ζ) He killed many prisoners *with impunity*.

..................................................................................................................

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to force | .......................... | to defend | .......................... |
| to enter | .......................... | such | .......................... |
| until | .......................... | law | .......................... |

## Μελέτημα 47

**Xenophon narrates that the Athenians are eager to go to war, even more eager than their own general Iphicrates, while the enemy seem rather inclined to abandon the fight:**

Μετὰ ταῦτα ἐβουλεύοντο οἱ Ἀθηναῖοι, καὶ τῶν μὲν ἀντιλεγόντων οὐκ *ἠνείχοντο* ἀκούοντες, ἐψηφίσαντο δὲ βοηθεῖν *πανδημεί*, καὶ Ἰφικράτην στρατηγὸν εἵλοντο. ἐπεὶ δὲ τὰ ἱερὰ [καλῶς] ἐγένετο καὶ παρήγγειλεν ἐν Ἀκαδημείᾳ *δειπνοποιεῖσθαι*, πολλοὺς ἔφασαν προτέρους αὐτοῦ Ἰφικράτους ἐξελθεῖν. ἐκ δὲ τούτου ἡγεῖτο μὲν ὁ Ἰφικράτης, οἱ δ' ἠκολούθουν, νομίζοντες ἐπὶ καλόν τι ἔργον ἡγήσεσθαι. ἐπεὶ δὲ ἀφικόμενος εἰς Κόρινθον *διέτριβέ* τινας ἡμέρας, εὐθὺς μὲν ἐπὶ ταύτῃ τῇ διατριβῇ πρῶτον *ἔψεγον* αὐτόν· ὡς δ' ἐξήγαγέ ποτε, προθύμως μὲν ἠκολούθουν ὅποι ἡγοῖτο, προθύμως δ', εἰ πρὸς τεῖχος προσάγοι, *προσέβαλλον*. τῶν δ' ἐν τῇ Λακεδαίμονι [γῇ] πολεμίων Ἀρκάδες μὲν καὶ Ἀργεῖοι καὶ Ἠλεῖοι πολλοὶ ἀπεληλύθεσαν, ἅτε *ὅμοροι* οἰκοῦντες [...]. οἱ δὲ Θηβαῖοι καὶ οἱ ἄλλοι τὰ μὲν καὶ διὰ τοῦτο ἀπιέναι ἐβούλοντο ἐκ τῆς χώρας, ὅτι ἑώρων ἐλάττονα τὴν στρατιὰν καθ' ἡμέραν γιγνομένην, τὰ δέ, ὅτι σπανιώτερα τὰ ἐπιτήδεια ἦν· τὰ μὲν γὰρ *ἀνήλωτο*, τὰ δὲ διήρπαστο, τὰ δὲ *ἐξεκέχυτο*, τὰ δὲ *κατεκέκαυτο*.

*ἀνέχομαι* = *ἀσμενῶς δέχομαι*

*πανδημεί* = *παντελῶς, πάσῃ τῇ βίᾳ*

*δειπνοποιέομαι* = *τὸ δεῖπνον ἐσθίω*

*διατρίβω* = *μένω οὐδὲν ποιῶν*

*ψέγω* ↔ *τιμάω*

*προσβάλλω* = *ἐπιβάλλω, ἐπιτίθεμαι*

*ὅμορος* = *ὃς ἐγγὺς τοῦ ὅρου οἰκεῖ*

*ἀναλίσκω* = *τοσούτῳ χρῶμαι ὥστε οὐδὲν μένει*

*ἐκχέω* = *κακῶς χράομαι*

*κατακαίω* = *παντελῶς καίω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οἱ στρατιῶται [attacked] …………………… [with all the forces] …………………… .

β) They *criticised* him for *using up* all the money.

……………………………………………………………………………………..

γ) τὰς [border-neighbouring] …………………… κώμας διέφθειραν.

δ) I do not intend to *put up with* this.

……………………………………………………………………………………..

ε) [Having lunch] …………………… πάντα ἃ εἶχον [they wasted] …………………… .

ζ) While they *waited* there, they *burned down* some abandoned houses.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| willing | ……………………… | to deliberate | ……………………… |
| to vote | ……………………… | to accompany | ……………………… |
| to live | ……………………… | immediately | ……………………… |

## Μελέτημα 48

**Diodorus of Sicily tells us that the Cretans stationed at Sparta were really efficient in carrying out orders, and almost miraculously the Spartans are not defeated; finally, there is some praise for the two generals:**

ἐκέλευεν οὖν [αὐτοὺς] τοῖς ἐν τῇ Σπάρτῃ παραφυλάττειν τὴν πόλιν μηδὲν *καταπεπληγμένους*, [εἶπε] ταχὺ γὰρ αὐτὸν *ἐπιφανέντα* βοηθήσειν. τῶν δὲ Κρητῶν *συντόμως* τὸ παραγγελθὲν ποιησάντων, *παραδόξως* οἱ Λακεδαιμόνιοι τὴν *ἅλωσιν* τῆς πατρίδος ἐξέφυγον· μὴ *προδηλωθείσης* γὰρ τῆς *ἐπιθέσεως* ἔλαθεν ἂν ὁ Ἐπαμεινώνδας εἰσπεσὼν εἰς τὴν Σπάρτην. τὴν μὲν οὖν *ἐπίνοιαν* τῶν στρατηγῶν ἀμφοτέρων δικαίως ἄν τις *ἀποδέξαιτο*, *συνετωτέραν* δὲ στρατηγίαν τὴν τοῦ Λάκωνος ἡγήσαιτο [ἄν].

*καταπλήττομαι* = *φοβέομαι*

*ἐπιφαίνομαι* ↔ *ἀφανίζομαι*

*συντόμως* = *ταχέως*

*παραδόξως* = *παρ᾽ ἐλπίδα*

*ἅλωσις* ↔ *ἐλευθέρωσις*

*προδηλόω* = *δηλόω πρὸ ἄλλου τινός*

*ἐπίθεσις* = *προσβολή*

*ἐπίνοια* = *σοφία*

*ἀποδείκνυμι* = *τιμῶν δείκνυμι, τιμῶν δηλόω,*

*συνετός* = *σοφός*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οὗτος ὁ παῖς [against what we expected] …………………… [clever] ……………………

τυγχάνει ὤν.

β) He *appeared* on time to prevent the *attack* against the city.

……………………………………………………………………………………………..

γ) τοῖς μαθηταῖς [I praised] …………………… τὴν σοφίαν αὐτοῦ.

δ) The *capture* of the city took place *quickly*.

……………………………………………………………………………………………..

ε) [I was struck] …………………… τῇ τοῦ διδασκάλου [cleverness] …………………… .

ζ) The plan *was shown in advance*.

……………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to lead | ……………………… | both | ……………………… |
| quick | ……………………… | to order | ……………………… |
| to help | ……………………… | homeland | ……………………… |

## Μελέτημα 49

**Demosthenes justifies that, even if he knew that the person on trial was guilty of several crimes, he did not complain about him when the city was praising him because, among other reasons, not saying anything could have its advantages in that moment, regardless of whatever evil that man could have previously done:**

Ἴσως τοίνυν ἐκεῖν' ἄν τίς μ' *ἔροιτο*, τί δήποτε ταῦτ' εἰδὼς οὕτως ἀκριβῶς ἐγὼ καὶ *παρηκολουθηκὼς* ἐνίοις τῶν ἀδικημάτων εἴασα, καὶ οὔθ' ὅτ' (ὅτε) αὐτὸν ἐποιεῖσθε πολίτην οὐδὲν *ἀντεῖπον*, οὔθ' ὅτε ἐπῃνεῖτε, οὔθ' ὅλως πρότερον, πρὶν τὸ ψήφισμα τουτὶ γενέσθαι, λόγον οὐδέν' ἐποιησάμην. ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς ἅπασαν ἐρῶ τὴν ἀλήθειαν. καὶ γὰρ ὡς ἀνάξιος ἦν *ᾔδειν*, καὶ παρῆν ὅτε τούτων ἠξιοῦτο, καὶ οὐκ ἀντεῖπον· ὁμολογῶ. διὰ τί; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, πρῶτον μὲν ἀσθενέστερον ἡγούμην ἔσεσθαι πολλῶν ψευδομένων ἑτοίμως περὶ αὐτοῦ πρὸς ὑμᾶς ἕνα τἀληθῆ λέγοντ', ἐμαυτόν· ἔπειθ' ὧν μὲν ἐκεῖνος *εὑρίσκετ'* ἐξαπατῶν ὑμᾶς, μὰ τὸν Δία καὶ θεοὺς πάντας, οὐδενὸς [τούτων] *εἰσῄει* μοι *φθονεῖν*, κακὸν δ' οὐδὲν ἑώρων *ὑπερφυὲς πεισομένους* ὑμᾶς, εἴ τιν' ἠδικηκότα πόλλ' ἀφίετε καὶ *προὐκαλεῖσθέ* τι τοῦ λοιποῦ [χρόνου] ποιεῖν ὑμᾶς ἀγαθόν.

*ἠρόμην* = *ἠρώτησα*

*παρακολουθέω* = *πάρειμι*

*ἀντιλέγω* = *ἀνθίσταμαι*

*ᾔδειν* < *οἶδα*

*εὑρίσκω* = *κτάομαι*

*εἴσεισί μοι* = *εἰς τὸν ἐμὸν νοῦν εἰσβαίνει*

*φθονέω τούτου* = *ἀπωθέω τοῦτο, μέμφομαι τοῦτο*

*ὑπερφυής* = *μέγιστος*

*πείσομαι* < *πάσχω*

*προκαλέω* = *ἐποτρύνω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ὁ Σωκράτης [attended] …………………… πᾶσι τοῖς διαλόγοις.

β) He *knew* that this was a *very big* project.

………………………………………………………………………………………..

γ) ὁ Σωκράτης [asked] …………………… τίνα [he obtained] …………………… .

δ) The idea of *encouraging* him *came into my mind.*

………………………………………………………………………………………..

ε) ἔγωγε [opposed] …………………… , εἶδον γὰρ αὐτοὺς πολλὰ καὶ κακὰ [would suffer]

…………………… .

ζ) They always *rejected* these crimes.

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| weak | ……………………… | accurate | ……………………… |
| to deceive | ……………………… | perhaps | ……………………… |
| to allow | ……………………… | ready | ……………………… |

## Μελέτημα 50

**Thucydides narrates the end of Pausanias: first, somebody sets a trap so that Pausanias speaks to him freely without realising that the ephors too are listening, and further ahead, when he sees that he is going to be detained, thanks to the warning given by a friend, he manages to flee:**

τότε δὴ οἱ ἔφοροι, δείξαντος αὐτοῦ τὰ γράμματα, μᾶλλον μὲν ἐπίστευσαν, *αὐτήκοοι* δὲ βουληθέντες ἔτι γενέσθαι αὐτοῦ Παυσανίου τι λέγοντος, ἀπὸ παρασκευῆς τοῦ ἀνθρώπου ἐπὶ Ταίναρον [ὡς] *ἱκέτου* οἰχομένου καὶ *σκηνησαμένου* διπλῆν *διαφράγματι καλύβην*, ἐς ἣν τῶν [τε] ἐφόρων ἐντός τινας ἔκρυψε, καὶ Παυσανίου ὡς (πρὸς) αὐτὸν ἐλθόντος καὶ ἐρωτῶντος τὴν *πρόφασιν* τῆς ἱκετείας, ᾔσθοντο πάντα σαφῶς. [...] ἀκούσαντες δὲ ἀκριβῶς τότε μὲν ἀπῆλθον οἱ ἔφοροι, βεβαίως δὲ ἤδη *εἰδότες* ἐν τῇ πόλει τὴν *ξύλληψιν* ἐποιοῦντο. λέγεται δ' αὐτὸν μέλλοντα ξυλληφθήσεσθαι ἐν τῇ ὁδῷ, ἑνὸς μὲν τῶν ἐφόρων τὸ πρόσωπον προσιόντος ὡς εἶδε, γνῶναι ἐφ' ᾧ ἐχώρει, ἄλλου δὲ *νεύματι* ἀφανεῖ χρησαμένου καὶ δηλώσαντος *εὐνοίᾳ*, πρὸς τὸ ἱερὸν τῆς Χαλκιοίκου χωρῆσαι δρόμῳ καὶ προκαταφυγεῖν.

*αὐτήκοος* = *ὅς αὐτὸς ἀκούει*

*ἱκέτης, -ου* = *ὅς πρὸς τὸν θεὸν βαίνει ὡς αἰτήσοντος*

*σκηνέομαι* = *τὴν σκηνὴν καθίστημι*

*διάφραγμα* = *τεῖχος ἢ ἄλλο τι ὃ διαμερίζει*

*καλύβη* = *μικρὰ σκηνή*

*πρόφασις* = *ψευδῆς αἰτία*

*εἰδώς* < *οἶδα*

*σύλληψις, -εως* < *συλλαμβάνω σε* = *βίᾳ κατέχω σε ἵνα μὴ φεύγῃς*

*νεύματι χρῶμαι* = *σημεῖον τῇ κεφαλῇ ποιῶ*

*εὔνοια* ↔ *κακόνοια*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) [Knowing] …………………… τὰ γεγενημένα, [the separation wall] ……………………

διέφθειραν.

β) He *nodded* and the other one went into the *hut.*

…………………………………………………………………………………………..

γ) καίπερ πιστεύων σοι, βούλομαι [who hears it with my own ears] ……………………

γενέσθαι.

δ) They went into the temple as *suppliants* in order to avoid *arrest.*

…………………………………………………………………………………………..

ε) αὐτὸν ἔπεισε [an excuse] …………………… χρώμενος, ἀληθῆ γὰρ [good will]

…………………… πρὸς αὐτὸν οὐκ ἔχει.

ζ) They *pitched the tent* there, by the fence.

…………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to ask | ……………………… | face | ……………………… |
| unclear | ……………………… | to show | ……………………… |
| firm | ……………………… | to trust | ……………………… |

## Μελέτημα 51

**In this speech of Isocrates, the defendant claims that, when Thrasylochus fell ill, he was the only one who took care of him from beginning to end, and even those who came were not of much help:**

Καὶ μὴν οὐδὲ τοῦθ' *ἕξουσιν* εἰπεῖν ὡς εὖ μὲν πράττοντος Θρασυλόχου πάντα ταῦθ' [ἐγὼ] *ὑπέμενον*, δυστυχήσαντα δ' αὐτὸν ἀπέλιπον· ἐν αὐτοῖς γὰρ τούτοις ἔτι *σαφέστερον* καὶ μᾶλλον ἐπεδειξάμην τὴν εὔνοιαν ἣν εἶχον εἰς ἐκεῖνον. Ἐπειδὴ γὰρ εἰς Αἴγιναν *κατοικισάμενος ἠσθένησεν* ταύτην τὴν νόσον ἐξ ἧσπερ ἀπέθανεν, οὕτως αὐτὸν ἐθεράπευσα ὡς οὐκ οἶδ' ὅστις πώποθ' ἕτερος ἕτερον, τὸν μὲν πλεῖστον τοῦ χρόνου πονήρως μὲν ἔχοντα, *περιιέναι* δ' ἔτι δυνάμενον, ἓξ μῆνας δὲ συνεχῶς ἐν τῇ κλίνῃ κείμενον. Καὶ τούτων τῶν *ταλαιπωριῶν* οὐδεὶς τῶν *συγγενῶν μετασχεῖν* ἠξίωσεν, ἀλλ' οὐδ' ἐπισκεψόμενος ἀφίκετο πλὴν τῆς μητρὸς καὶ τῆς ἀδελφῆς αἳ πλέον *θάτερον* ἐποίησαν· ἀσθενοῦσαι γὰρ ἦλθον ἐκ Τροιζῆνος ὥστ' αὐταὶ θεραπείας ἐδέοντο.

*ἔχω γράφειν* = *δύναμαι γράφειν*

*ὑπομένω* = *πάσχω, ἐάω*

*σαφής* = *δῆλος, φανερός*

*κατοικίζω εἰς τὰς Ἀθήνας* = *εἰς τὰς Ἀ. ἔρχομαι ἵνα ἐκεῖ οἰκῶ*

*ἀσθενέω* ↔ *ὑγιαίνω*

*περίειμι* = *ἄνω καὶ κάτω βαίνω*

*ταλαιπωρία* = *πάθημα, δυστύχημα*

*συγγενής* = *ὁ πατήρ, ἡ μήτηρ, ὁ ἀδελφός, ἡ ἀδελφή, οἱ υἷοι, ...*

*μετέχω τούτου* = *μέρος ἔχω τούτου*

*θάτερον* = *τὸ ἕτερον*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) θαυμάθω πῶς δύναται [put up with] …………………… τουσαύτας [disgraces] …………………… .

β) After *settling* in this city, he *fell ill.*

………………………………………………………………………………………..

γ) ἆρα [can you] …………………… οὕτω ταχέως τρέχειν ὡς οὗτος ὁ δρομεύς;

δ) He *is walking up and down* through the city.

………………………………………………………………………………………..

ε) [Clear] …………………… ἐστιν ὅτι τοὺς [relatives] …………………… μισεῖ.

ζ) They *took part* in the battle, but abandoned *the other matter.*

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| care | ……………………… | to need | ……………………… |
| illness | ……………………… | continually | ……………………… |
| to fare | ……………………… | benevolence | ……………………… |

## Μελέτημα 52

**Same text as in Μελέτημα 24, but longer and with new words dealt with except two. Dio Chrysostom offers an example of oracles wrongly interpreted that lead to disaster, and then he goes on to say that nobody should have too much strength:**

ἀλλ' ὅμως διὰ τὴν *πλεονεξίαν* οὐδὲ *ὦτα* ἔχουσιν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐδὲ τῶν λεγομένων αἰσθάνονται. πάλιν τοίνυν Ἀθηναίοις ἐρωτῶσι περὶ τῆς νήσου Σικελίας ἔχρησε προσλαβεῖν τῇ πόλει τὴν Σικελίαν, λόφον τινὰ ἐγγὺς ὄντα τῆς πόλεως. οἱ δὲ τῶν μὲν παρακειμένων καὶ τῶν ἐν ὀφθαλμοῖς ἠμέλησαν· οὕτως δ' ἔκφρονες ὑπῆρχον διὰ τὴν ἐπιθυμίαν τοῦ πλείονος, ὥστε τὸν θεὸν αὐτοῖς ἐνόμιζον λέγειν ἐν ἑνὶ τείχει περιλαβεῖν τὰς Ἀθήνας καὶ τὴν ἀπὸ μυρίων που σταδίων οὖσαν νῆσον. τοιγαροῦν ἐκεῖσε πλεύσαντες οὐ μόνον Σικελίας διήμαρτον, ἀλλὰ καὶ τῆς Ἀττικῆς ἐστερήθησαν, καὶ τὴν πόλιν αὐτὴν *ἐπεῖδον* ἐπὶ τοῖς πολεμίοις γεγενημένην. καὶ τὰ μὲν τοιαῦτα εἰ θέλοι τις *ἐπεξιέναι*, δῆλον ὡς οὐδ' ἐν ἔτει ἐπιλείψει. σκοπεῖτε δ' ὅτι τὴν *ἰσχὺν* οἱ πλεῖστοι τῶν ἀγαθῶν εἶναι νομίζουσιν· ἀλλ' οἶμαι τοῖς ἐπ' ἄκρον *ἰσχύουσι* καὶ λίαν ὑπερβάλλουσι τῇ κατὰ τὸ σῶμα *εὐεξίᾳ* συμφέρει μέρος τι αὐτῆς *ἀφελεῖν*· τὸ γὰρ πλέον οἶμαι τοῦ *συμμέτρου παγχάλεπον*.

*πλεονεξία* = *τὸ πόθος τοῦ πλεῖον ἔχειν*
*οὖς, ὠτός τό* = *τὸ ὄργανον ᾧ ἀκούομεν*
*ἐφοράω* = *ὁράω καὶ ἐάν μοι οὐκ ἀρέσκη*
*ἐπεξέρχομαι* = *εἰς τὸ τέλος ἐξηγέομαι*
*ἰσχύς, -ύος ὁ* = *ῥώμη*
*ἰσχύω* ↔ *ἀσθενέω*
*εὐεξία* = *ὑγίεια, εὐτυχία*
*ἀφαιρέω* ↔ *δίδωμι*
*σύμμετρος, -ον* = *οὔτε μικρὸς οὔτε μέγας*
*παγχάλεπος* = *χαλεπώτατος*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οὐκ ἐθέλω τὴν ἐμὴν πόλιν διαφθαρεῖσαν [to see] …………………….. .

β) The gods *removed* the *strength* from him.

……………………………………………………………………………………………..

γ) θαυμάζω τὴν [health] …………………….. αὐτοῦ, οὐδαμῶς γὰρ

[moderate] …………………….. ἐστίν.

δ) As his empire *is strong,* this king's *avarice* is growing.

……………………………………………………………………………………………..

ε) οἱ ἄνθρωποι δύο [ears] …………………….. ἔχομεν.

ζ) Now I will *relate* that myth, a *very bad* one.

……………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to attach | ……………………… | to watch | ……………………… |
| it is convenient | ……………………… | mindless | ……………………… |
| most | ……………………… | to disregard | ……………………… |

## Μελέτημα 53

**Plato depicts Socrates defending himself and commenting the accusations made against him:**

Ἀναλάβωμεν οὖν ἐξ ἀρχῆς τίς ἡ κατηγορία ἐστὶν ἐξ ἧς ἡ ἐμὴ *διαβολὴ* γέγονεν, ᾗ δὴ καὶ πιστεύων Μέλητός με ἐγράψατο τὴν γραφὴν ταύτην. εἶεν· τί δὴ λέγοντες *διέβαλλον* οἱ διαβάλλοντες; ὥσπερ οὖν κατηγόρων τὴν *ἀντωμοσίαν* δεῖ ἀναγνῶναι αὐτῶν· "Σωκράτης ἀδικεῖ καὶ *περιεργάζεται* ζητῶν τά τε ὑπὸ γῆς καὶ οὐράνια καὶ τὸν *ἥττω* λόγον *κρείττω* ποιῶν καὶ ἄλλους ταὐτὰ ταῦτα διδάσκων." τοιαύτη τίς ἐστιν· ταῦτα γὰρ ἑωρᾶτε καὶ αὐτοὶ ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ, Σωκράτη τινὰ ἐκεῖ *περιφερόμενον*, φάσκοντά τε ἀεροβατεῖν καὶ ἄλλην πολλὴν φλυαρίαν *φλυαροῦντα*, ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε μικρὸν *πέρι ἐπαΐω*.

*διαβολή* = *ψευδῆς κατηγορία*
*διαβάλλω* = *ψευδῆ λέγω περί τινος*
*ἀντωμοσία* = *(ἀντί + ὄμνυμι) ὅρκος πρὸς ἀλλήλους*
*περιεργάζομαι* = *ἄγαν ἐργάζομαι*
*ἥττων* ↔ *ἰσχυρώτερος*
*κρείττων* = *ἰσχυρώτερος*
*περιφέρομαι* = *ἄνω καὶ κάτω βαίνω*
*φλυαρέω* = *φλυαρίας λέγω*
*τούτου πέρι* = *περὶ τούτου*
*ἐπαΐω* = *συνίημι, οἶδα*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ἐπειδὰν σχολή μοι ᾖ, ἀεὶ περὶ τῆς πόλεως [I walk around] …………………… .

β) He *is* always *talking nonsense* and throwing *defamations* against me.

……………………………………………………………………………………..

γ) εἴη, διαλεγώμεθα τῆς [mutual oath] …………………… [about] ……………………

ἣν ὤμοσαν.

δ) He *puts too much effort* into learning.

……………………………………………………………………………………..

ε) οὗτοι μὲν οἱ παῖδες [stronger] …………………… εἰσίν, ἐκεῖνοι δὲ

[weaker] …………………… .

ζ) He *slanders* Socrates, but he *knows* how to defend himself.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| accusation | ……………………… | to trust | ……………………… |
| to seek | ……………………… | to read | ……………………… |
| to say | ……………………… | beginning | ……………………… |

## Μελέτημα 54

**Lucian praises Hesiod but objects that he (Hesiod) boasts that the gods entrusted him with two tasks, because it seems that he has performed only the first one, which Lucian describes in detail:**

Ἀλλὰ ποιητὴν μὲν ἄριστον εἶναί σε, ὦ Ἡσίοδε, καὶ τοῦτο παρὰ Μουσῶν λαβεῖν μετὰ τῆς δάφνης αὐτός τε δεικνύεις ἐν οἷς ποιεῖς – *ἔνθεα* γὰρ καὶ σεμνὰ πάντα – καὶ ἡμεῖς πιστεύομεν οὕτως ἔχειν. ἐκεῖνο δὲ ἀπορῆσαι ἄξιον [ἐστίν], τί δήποτε προειπὼν (διὰ τί εἶπες) ὑπὲρ σαυτοῦ ὡς διὰ τοῦτο λάβοις τὴν *θεσπέσιον* ἐκείνην ᾠδὴν παρὰ τῶν θεῶν ὅπως *κλείοις* καὶ ὑμνοίης τὰ παρεληλυθότα καὶ *θεσπίζοις* τὰ ἐσόμενα· θάτερον μὲν καὶ πάνυ *ἐντελῶς ἐξενήνοχας* θεῶν τε γενέσεις διηγούμενος *ἄχρι* καὶ τῶν πρώτων ἐκείνων, *χάους* καὶ γῆς καὶ οὐρανοῦ καὶ ἔρωτος – ἔτι δὲ γυναικῶν ἀρετὰς καὶ *παραινέσεις* γεωργικάς, καὶ ὅσα περὶ Πλειάδων καὶ ὅσα περὶ καιρῶν ἀρότου καὶ *ἀμήτου* καὶ πλοῦ καὶ ὅλως τῶν ἄλλων ἁπάντων.

*ἔνθεος* = *θεῖος*
*θεσπέσιος, -ος, -ον* = *θεῖος*
*κλείω* = *ἀείδων τιμάω*
*θεσπίζω* = *λέγω τί γενήσεται*
*ἐντελής* = *πλήρης, ὃς πάντα τὰ μέρη ἔχει*
*ἐκφέρω* = *τελευτάω, τελέω*
*ἄχρι* = *μέχρι*
*χάος, -ους* ↔ *κόσμος, εὐταξία*
*παραίνεσις* = *λόγος περὶ ὃ ποιεῖν δεῖ*
*ἄμητος* = *συγκομιδή, τὸ τοὺς καρποὺς ἤδη ὡραίους λαβεῖν*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) οὐκ ἔξεστί μοι τὰ γενησόμενα [to predict] …………………… .

β) He lived here *until* the time of the *harvest*.

……………………………………………………………………………………..

γ) πάντας τούτους τοὺς [divine] …………………… μύθους ἤδη

[I have finished] …………………… γράφων.

δ) The gods ordered this poet to *celebrate* the time of *chaos*.

……………………………………………………………………………………..

ε) πάντα τὰ τοῦ Ὁμήρου ποιήματα ἀληθῶς [inspired by the gods] …………………… ἦν.

ζ) This woman wrote many *pieces of advice* in a *complete* book.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| birth | ……………………… | field-related | ……………………… |
| song | ……………………… | sacred | ……………………… |
| the past | ……………………… | laurel | ……………………… |

## Μελέτημα 55

**In Xenophon, we can see Cyrus' soldiers telling him about the death of one of his generals and his reaction:**

τῶν οὖν ὑπηρετῶν τις ἀπεκρίνατο ὅτι Ὦ δέσποτα, οὐ ζῇ, ἀλλ' ἐν τῇ μάχῃ ἀπέθανεν ἐμβαλὼν τὸ ἅρμα εἰς τοὺς Αἰγυπτίους· οἱ δ' ἄλλοι πλὴν τῶν ἑταίρων αὐτοῦ *ἐξέκλιναν*, ὥς φασιν, ἐπεὶ τὸ *στῖφος* εἶδον τὸ τῶν Αἰγυπτίων. καὶ νῦν γε, ἔφη, λέγεται αὐτοῦ ἡ γυνὴ ἀνελομένη τὸν νεκρὸν καὶ ἐνθεμένη εἰς τὴν *ἁρμάμαξαν*, ἐν ᾗπερ αὐτὴ *ὠχεῖτο*, *προσκεκομικέναι* αὐτὸν ἐνθάδε ποι πρὸς τὸν Πακτωλὸν ποταμόν. καὶ τοὺς μὲν εὐνούχους καὶ τοὺς θεράποντας αὐτοῦ *ὀρύττειν* φασὶν ἐπὶ λόφου τινὸς θήκην τῷ τελευτήσαντι· τὴν δὲ γυναῖκα λέγουσιν ὡς κάθηται *χαμαὶ* κεκοσμηκυῖα οἷς εἶχε τὸν ἄνδρα, τὴν κεφαλὴν αὐτοῦ ἔχουσα ἐπὶ τοῖς γόνασι. ταῦτα ἀκούσας ὁ Κῦρος *ἐπαίσατο* ἄρα τὸν *μηρὸν* καὶ εὐθὺς ἀναπηδήσας ἐπὶ τὸν ἵππον λαβὼν χιλίους ἱππέας ἤλαυνεν ἐπὶ τὸ πάθος (ἐπὶ τὸν τοῦ πάθους τόπον). Γαδάταν δὲ καὶ Γωβρύαν ἐκέλευσεν ὅ τι δύναιντο λαβόντας καλὸν κόσμημα ἀνδρὶ φίλῳ καὶ ἀγαθῷ τετελευτηκότι *μεταδιώκειν*.

*ἐκκλίνω* = *εἴκω, ἀναχωρέω, φεύγω*
*στῖφος, ους* = *πλῆθος*
*ἁρμάμαξα* = *ἅμαξα*
*ὀχέω* = *ἁμάξῃ πορεύομαι*
*προσκομίζω* = *φέρω, κομίζω*
*ὀρύττω* = *ἐν τῇ γῇ ὄρυγμα ποιῶ ἵνα νέκρον τιθῶ*
*χαμαί* = *ἐπὶ τῆς γῆς*
*παίω* = *κρούω, κόπτω*
*μηρός* = *τὸ τοῦ σκέλους ὑψηλὸν μέρος*
*μεταδιώκω* = *ἀκολουθέω, ἕπομαι*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) πάσας τὰς βίβλους χθὲς [they brought] …………………… .

β) She *went* with her own chariot to see the *host* of the enemy.

…………………………………………………………………………………..

γ) ἐν τῇ μάχῃ τὸν [thigh] …………………… αὐτοῦ [I hit] …………………… .

δ) Having seen the enemy, our soldiers *yielded.*

…………………………………………………………………………………..

ε) αὐτὸν [having followed] …………………… , ὄρυγμα [we dug] …………………… .

ζ) Sitting *on the ground,* we were looking at her standing on the *chariot.*

…………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| hill | ……………………… | horseman | ……………………… |
| knee | ……………………… | servant | ……………………… |
| ornament | ……………………… | to pick up | ……………………… |

## Μελέτημα 56

**In Demosthenes, the orator tries to persuade the jury that the accused man has tried to introduce an unfair law knowing very well what he was doing, as he has already done something similar before in exchange for money rather than trying to help people:**

Ὅτι μὲν τοίνυν καὶ παρὰ τούτους τοὺς νόμους καὶ παρὰ τοὺς *προειρημένους*, καὶ μικροῦ *δέω* παρὰ πάντας εἰπεῖν τοὺς ὄντας ἐν τῇ πόλει, τέθηκε τὸν νόμον, οἶμαι δῆλον ἅπασιν ὑμῖν εἶναι. θαυμάζω δ' αὐτοῦ τί ποτε καὶ τολμήσει λέγειν περὶ τούτων. οὔτε γὰρ ὡς οὐκ ἐναντίος ἔσθ' ὁ νόμος τοῖς ἄλλοις δεικνύειν ἕξει, οὔθ' ὡς δι' *ἀπειρίαν ἰδιώτην* αὐτὸν ὄντα τοῦτ' ἔλαθεν δύναιτ' ἂν πεῖσαι· πάλαι γὰρ μισθοῦ [ἕνεκα] καὶ γράφων καὶ νόμους εἰσφέρων *ὦπται*. καὶ μὴν οὐδ' ἐκεῖνό γ' *ἔνεστιν* αὐτῷ, ἀδίκημα μὲν εἶναι τὸ πρᾶγμ' ὁμολογῆσαι, *συγγνώμης* δὲ τυχεῖν ἀξιοῦν· οὐ γὰρ *ἄκων* οὐδ' ὑπὲρ ἠτυχηκότων οὐδ' ὑπὲρ συγγενῶν καὶ ἀναγκαίων αὐτῷ τεθηκὼς φαίνεται τὸν νόμον, ἀλλ' ἑκὼν ὑπὲρ [ανθρώπων] μεγάλ' ἠδικηκότων ὑμᾶς, οὐδὲν προσηκόντων αὐτῷ, *πλὴν* εἰ συγγενεῖς ὑπολαμβάνειν (νομίζειν) φησὶν τοὺς μισθουμένους αὐτόν. ὡς τοίνυν οὐδ' ἐπιτήδειον νόμον ὑμῖν οὐδὲ *συμφέροντ'* εἰσενήνοχεν, τοῦτ' ἤδη πειράσομαι νυνὶ δεικνύειν.

*προειρημένος* < *προλέγω*
*μικροῦ δέω εἰπεῖν* = *ἴσως δύναμαι εἰπεῖν*
*ἀπειρία* ↔ *ἐμπειρία*
*ἰδιώτης, -ου* = *πολίτης μόνος*
*ὦπται* < *ὁράω*
*ἔνεστι* = *ἔξεστι*
*συγγνώμης τυγχάνω* = *οὐ κολάζομαι καίπερ ἀδίκημα ἀδικήσας*
*ἄκων* ↔ *ἑκών*
*πλήν* = *χωρίς, ἔκτος*
*τοῦτό μοι συμφέρει* = *τοῦτό μοι ἀγαθόν ἐστιν*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) πολλάκις [he has been seen] …………………… χρήματα παρὰ τοῦ βασιλέως δεχόμενος.

β) I *could almost* defeat all of them, but you can't defeat me.

………………………………………………………………………………………..

γ) αὐτοὺς [forgiveness] …………………… τυχεῖν τοῖς πολεμίοις

[it is of interest] …………………… .

δ) All *that has been previously said* is true.

………………………………………………………………………………………..

ε) τοῦτο [unwillingly] …………………… ἐποίησα, [inexperience] …………………… ἕνεκα.

ζ) In spite of being a *simple layman*, I can do everything *except* this.

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to try | ……………………… | to hire | ……………………… |
| injustice | ……………………… | to dare | ……………………… |
| to agree | ……………………… | to set | ……………………… |

## Μελέτημα 57

**Thucydides tells us that the Athenians are unaware of what they are letting themselves in for and gives us a description of the island of Sicily (size, population, etc.), including even how far it is separated from the mainland and by whom it has been inhabited:**

Τοῦ δ' αὐτοῦ χειμῶνος Ἀθηναῖοι ἐβούλοντο αὖθις, μείζονι παρασκευῇ τῆς μετὰ Λάχητος καὶ Εὐρυμέδοντος, ἐπὶ Σικελίαν πλεύσαντες *καταστρέψασθαι*, εἰ δύναιντο, ἄπειροι οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου καὶ τῶν ἐνοικούντων τοῦ πλήθους καὶ Ἑλλήνων καὶ βαρβάρων, καὶ [ἀγνοοῦντες] ὅτι οὐ πολλῷ τινὶ *ὑποδεέστερον* πόλεμον *ἀνῃροῦντο* ἢ τὸν πρὸς Πελοποννησίους. Σικελίας γὰρ περίπλους μέν ἐστιν *ὁλκάδι* οὐ πολλῷ τινὶ *ἔλασσον* ἢ ὀκτὼ ἡμερῶν, καὶ τοσαύτη οὖσα ἐν εἰκοσισταδίῳ μάλιστα μέτρῳ τῆς θαλάσσης *διείργεται* τὸ μὴ *ἤπειρος* εἶναι· ᾠκίσθη δὲ ὧδε τὸ ἀρχαῖον, καὶ τοσάδε *ἔθνη* ἔσχε [αὐτὴν] τὰ σύμπαντα. παλαίτατοι μὲν λέγονται ἐν μέρει τινὶ τῆς χώρας Κύκλωπες καὶ Λαιστρυγόνες οἰκῆσαι, ὧν ἐγὼ οὔτε γένος ἔχω εἰπεῖν οὔτε ὁπόθεν ἐσῆλθον ἢ ὅποι ἀπεχώρησαν· *ἀρκείτω* δὲ ὡς ποιηταῖς τε *εἴρηται* καὶ ὡς ἕκαστός πῃ γιγνώσκει περὶ αὐτῶν.

*καταστρέφω = νικάω*

*ὑποδεής, -ές = ἐλάττων, χείρων, μικρότερος*

*ἀναιρέω = ἐπιχειρέω, δέχομαι*

*ὁλκάς = μέγας ναῦς ᾗ οἱ ἔμποροι χρῶνται ἵνα φορτία κομίζωσιν*

*ἐλάττων < ἐλαχύς*

*διείργω = σχίζω ↔ συνάπτω*

*ἤπειρος ἡ ↔ νῆσος ἡ*

*ἔθνος, -ους = γένος ἀνθρώπων (Ἕλληνες, Πέρσαι, Ἴταλοι...)*

*ἀρκέω = ἱκανός εἰμι*

*εἴρημαι < λέγω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ἡ πορεῖα οὐκ [shorter] ……………………. ἐστὶν ἢ πέντε ἡμερῶν.

β) The sea *divides* the island from the *mainland.*

………………………………………………………………………………………..

γ) οἱ Πέρσαι πάντα τὰ τότε [peoples] ……………………. [subdued] ……………………. .

δ) *I have said* that this city is *rather inferior* to that one.

………………………………………………………………………………………..

ε) εἴκοσι [cargo ships] ……………………. πέμψαι [will be enough] ……………………. .

ζ) I think that you should *undertake* this war.

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| crowd | ……………………… | beginning | ……………………… |
| part | ……………………… | winter | ……………………… |
| where from | ……………………… | size | ……………………… |

## Μελέτημα 58

**Dio Chrysostom tells us what "withdrawing-retiring" means: Skipping your duties as a citizen? Yielding to the enemy? Not taking care of your friends?**

Τί γάρ ποτε τὸ τῆς *ἀναχωρήσεώς* ἐστι καὶ τίνας χρὴ τιθέναι (νομίζειν) τοὺς ἀναχωροῦντας; ἆρά γε τοὺς ἀπὸ τῶν *προσηκόντων* ἔργων αὐτοῖς καὶ πράξεων *ἀφισταμένους*, τούτους χρὴ φάσκειν ἀναχωρεῖν; οἷον εἴ τις Ἀθηναῖος ὤν, δέον αὐτὸν στρατεύεσθαι ὑπὲρ τῆς πατρίδος Λακεδαιμονίων εἰσβεβληκότων εἰς τὴν Ἀττικὴν ἢ Φιλίππου ἐπιόντος ἢ ἄλλων πολεμίων, ὁ δὲ ἀναχωρήσειεν εἰς Μέγαρα ἢ Αἴγιναν ἕνεκα τοῦ μὴ στρατεύεσθαι μηδὲ κινδυνεύειν, οὗτος ἂν ἀνακεχωρηκέναι λέγοιτο; ἢ εἴ τις *συχνὴν οὐσίαν* κεκτημένος ἕνεκα τοῦ διαφυγεῖν τὰς *λειτουργίας* ἀπέλθοι ἐκ τῆς πόλεως; ἢ εἴ τις *ἰᾶσθαι* τοὺς νοσοῦντας ἱκανὸς ὤν, καὶ φίλων δὴ καὶ *ἐπιτηδείων* αὐτῷ *καμνόντων*, ὅπως μὴ κακοπαθῇ καὶ πράγματα ἔχῃ τούτους θεραπεύων, ἀπολίποι τε αὐτοὺς καὶ *ἀποδημήσειεν* εἰς ἕτερον τόπον;

*ἀναχώρησις* = *τὸ τοῦ ἔργου παύεσθαι*
*προσήκων, -οντος* = *πρέπων, συμφέρων*
*ἀφίσταμαι ἀπὸ τούτου* = *τοῦτο καταλείπω*
*συχνός* ↔ *ἐλαχύς*
*οὐσία* = *χρήματα*
*λειτουργία* = *ὃ τοὺς πολίτας κατ᾽ ἐνιαυτὸν τῇ πόλει δεῖ ποιεῖν*
*ἰάομαι* = *ἰατρεύω*
*ἐπιτήδειος* = *φίλος*
*κάμνω* = *ἀσθενέω*
*ἀποδημέω* ↔ *ἐπιδημέω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ταῦτα τά σοι [convenient] …………………… ἔργα τελευτᾶν οὐ βούλει;

β) I must perform *many civic duties*, more than you.

……………………………………………………………………………………..

γ) ὁ Σωκράτης οὐκέτι οἰκεῖ ἐν ταῖς Ἀθήναις, ἤδη τὸ τρίτον ἔτος

[he is abroad] …………………… .

δ) His *friends* have a great *fortune*.

……………………………………………………………………………………..

ε) τὴν τοῦ ἰατροῦ [retirement] …………………… ὀδυρόμεθα, πολλοὺς γὰρ ἡμῶν

[he healed] …………………… .

ζ) He *was* always *falling ill*, he had to *give up* working

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| action | ……………………… | to invade | ……………………… |
| place | ……………………… | to march | ……………………… |
| to take care of | ……………………… | on behalf of | ……………………… |

## Μελέτημα 59

**Isocrates, through a couple of examples, makes clear that the most important thing for whoever is in power is to remain alive: the Spartans want their kings alive before anything else, and Xerxes also offers a good example with the amount of things he could do thanks to remaining alive:**

Ἴδοις δ' ἂν καὶ Λακεδαιμονίους περὶ τῆς τῶν βασιλέων σωτηρίας πολλὴν *ἐπιμέλειαν* ποιουμένους καὶ τοὺς ἐνδοξοτάτους τῶν πολιτῶν φύλακας αὐτῶν καθιστάντας, οἷς *αἴσχιόν* ἐστιν ἐκείνους τελευτήσαντας *περιιδεῖν* ἢ τὰς ἀσπίδας ἀποβαλεῖν. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνά σε *λέληθεν*, ἃ Ξέρξῃ τε τῷ *καταδουλώσασθαι* τοὺς Ἕλληνας βουληθέντι καὶ Κύρῳ τῷ τῆς βασιλείας *ἀμφισβητήσαντι* συνέπεσεν. Ὁ μὲν γὰρ *τηλικαύταις ἥτταις* καὶ συμφοραῖς περιπεσὼν *ἡλίκας* οὐδεὶς οἶδεν ἄλλοις γενομένας, διὰ τὸ περιποιῆσαι τὴν αὑτοῦ ψυχὴν τήν τε βασίλειαν κατέσχεν καὶ τοῖς παισὶν τοῖς αὑτοῦ παρέδωκεν καὶ τὴν Ἀσίαν οὕτω διῴκησεν ὥστε μηδὲν *ἧττον* αὐτὴν εἶναι φοβερὰν τοῖς Ἕλλησιν ἢ πρότερον.

*ἐπιμέλεια* = *θεραπεία, θεράπευμα*

*αἰσχίων* < *αἰσχρός*

*περιοράω* = *ὁρῶ καὶ κωλύειν οὐ δύναμαι*

*λέληθα* < *λανθάνω*

*καταδουλόω* ↔ *ἐλευθερόω*

*ἀμφισβητέω* = *ἀγωνίζομαι*

*τηλικοῦτος* = *τοσοῦτος*

*ἧττα* ↔ *νίκη*

*ἡλίκος* = *ὅσος*

*ἧττον* ↔ *μᾶλλον*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τοσαύτην [defeat] …………………….. οὐ δύναμαι [overlook] …………………….. .

β) They *are* always *struggling* about money.

……………………………………………………………………………………………..

γ) πολλὴν [care] …………………….. ποιοῦμαι μὴ [less] …………………….. σοφὸς γίγνωμαι.

δ) We did not suffer *as big* disgraces *as* you did.

……………………………………………………………………………………………..

ε) ἴσως σε [has missed] …………………….. τοῦτο [more shameful] …………………….. ὂν ἢ ὁ θάνατος;

ζ) Xerxes *enslaved* all the citizens.

……………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| famous | ……………………… | to hand over | ……………………… |
| terrible | ……………………… | to administer | ……………………… |
| disgrace | ……………………… | salvation | ……………………… |

## Μελέτημα 60

**Plato shows Socrates talking about his public life: fortunately he did not get into politics, he speaks about his usual activities, and he proves that he has never damaged anybody, as nobody has ever taken revenge on him:**

Ἆρ' οὖν ἄν με οἴεσθε τοσάδε ἔτη *διαγενέσθαι* εἰ ἔπραττον τὰ *δημόσια*, καὶ [εἰ] πράττων ἀξίως ἀνδρὸς ἀγαθοῦ ἐβοήθουν τοῖς δικαίοις καὶ ὥσπερ χρὴ τοῦτο περὶ *πλείστου* ἐποιούμην; πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι· οὐδὲ γὰρ ἂν ἄλλος ἀνθρώπων οὐδείς. […] Ἀλλὰ διὰ τί δή ποτε μετ' ἐμοῦ χαίρουσί τινες πολὺν χρόνον διατρίβοντες; […] ὅτι ἀκούοντες χαίρουσιν ἐξεταζομένοις τοῖς οἰομένοις μὲν εἶναι σοφοῖς, οὖσι δ' οὔ. ἔστι γὰρ [τοῦτο] οὐκ *ἀηδές*. ἐμοὶ δὲ τοῦτο, ὡς ἐγώ φημι, *προστέτακται* ὑπὸ τοῦ θεοῦ πράττειν καὶ ἐκ *μαντείων* καὶ ἐξ *ἐνυπνίων* […]. ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀληθῆ ἐστιν καὶ *εὐέλεγκτα*. εἰ γὰρ δὴ ἔγωγε τῶν νέων τοὺς μὲν διαφθείρω, τοὺς δὲ διέφθαρκα, χρῆν [ἂν] δήπου, εἴτε (εἰ) τινὲς αὐτῶν πρεσβύτεροι γενόμενοι ἔγνωσαν ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν πώποτέ τι συνεβούλευσα, νυνὶ αὐτοὺς ἀναβαίνοντας ἐμοῦ κατηγορεῖν καὶ τιμωρεῖσθαι· εἰ δὲ μὴ αὐτοὶ ἤθελον, [χρῆν ἂν] τῶν οἰκείων τινὰς τῶν ἐκείνων, πατέρας καὶ ἀδελφοὺς καὶ ἄλλους τοὺς *προσήκοντας*, εἴπερ ὑπ' ἐμοῦ τι κακὸν *ἐπεπόνθεσαν* αὐτῶν οἱ οἰκεῖοι, νῦν μεμνῆσθαι καὶ τιμωρεῖσθαι.

*διαγίγνομαι* = *ζάω, βιόω*

*δημόσιος* = *πολιτικός*

*περὶ πλείστου τοῦτο ποιοῦμαι* = *νομίζω τοῦτο πολλοῦ ἄξιον εἶναι*

*ἀηδής* ↔ *χαρίεις*

*προστάττω* = *κελεύω*

*μαντεῖον* = *ὃ οἱ θεοὶ ἡμῖν ἐρωτῶσι λέγουσιν*

*ἐνύπνιον* = *ὄνειρος*

*τοῦτο εὐέλεγκτόν ἐστι* = *ῥᾳδιόν ἐστι δεικνύναι τοῦτο ἀληθὲς ὄν*

*προσήκων* = *εἴτε συγγενής εἴτε φίλος*

*ἐπεπόνθεσαν* < *πάσχω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ταῦτα τὰ [oracles] …………………… [easy to prove] …………………… ἐστίν.

β) I always *give a lot of importance* to *dreams*.

……………………………………………………………………………………

γ) οἱ φιλόσοφοι μάλιστα [politics] …………………… ἔπραττον.

δ) If he *had suffered* so many disgraces, he had to tell me about it.

……………………………………………………………………………………

ε) οἱ θεοὶ [ordered] …………………… αὐτῷ κατὰ τοὺς νόμους [to live] …………………… .

ζ) None of his *relatives* did anything *unpleasant*.

……………………………………………………………………………………

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to spend time | …………………… | manner | …………………… |
| to decide | …………………… | to destroy | …………………… |
| to help | …………………… | to believe | …………………… |

## Μελέτημα 61

**A servant tells Clytemnestra about Orestes' victory in the Delphic Games:**

Κεῖνος γὰρ ἐλθὼν εἰς τὸ *κλεινὸν* Ἑλλάδος
*πρόσχημ'* ἀγῶνος, Δελφικῶν ἄθλων χάριν,
ὅτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων
δρόμον *προκηρύξαντος*, οὗ (τοῦ ἀγῶνος) πρώτη *κρίσις* [ἐστίν],
εἰσῆλθε λαμπρός, πᾶσι τοῖς ἐκεῖ *σέβας*·
δρόμου δ' *ἰσώσας* τῇ φύσει (τῇ ἑαυτοῦ ῥώμῃ) τὰ *τέρματα*,
νίκης ἔχων ἐξῆλθε πάντιμον *γέρας*.
χὤπως (καὶ ὅπως) μὲν ἐν πολλοῖσι *παῦρά* σοι λέγω
οὐκ οἶδα [ἄλλου] τοιοῦδ' ἀνδρὸς [ἄλλα] ἔργα καὶ *κράτη*·

*κλεινός* = *ἔνδοξος*
*πρόσχημα* = *παρασκευή, κόσμος, κόσμημα*
*προκηρύττω* = *ἀγγέλλω*
*κρίσις* = *ἆθλος, ἀγών*
*σέβας* = *θαῦμα, ὃ πάντες θαυμάζουσιν*
*ἰσόω τοὺς δύο θησαυρούς* = *τοὺς δύο θησαυροὺς ἴσους ποιῶ*
*τέρμα* ↔ *ἀρχή*
*γέρας* = *ἆθλον*
*παῦρος* ↔ *πολύς*
*κράτος* = *δύναμις, ῥώμη*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τοῦτο [something admirable] …………………… ἐστίν, τοιοῦτο γὰρ

[strength] …………………… ἔχει.

β) It's a difficult *decision,* to whom we give the *reward.*

……………………………………………………………………………………..

γ) οἱ Ἀθηναῖοι ἔμπειροι ἦσαν τοῦ τῶν ἀγώνων [paraphernalia] …………………… .

δ) The herald *announced* just *a few things.*

……………………………………………………………………………………..

ε) τὸ τοῦ δρόμου [finish] …………………… ἐν ἐκείνῃ τῇ [famous] ……………………

κώμῃ ἦν.

ζ) I ordered him to *make* both armies *equal.*

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| because of | ……………………… | task | ……………………… |
| to know | ……………………… | struggle | ……………………… |
| nature | ……………………… | victory | ……………………… |

## Μελέτημα 62

**Plato tells us that people rely on those who are the best experts in the speciality, even the king of Persia will prefer Greek cooks:**

– Εἶεν, ἦν δ' ἐγώ, ὦ ἄριστε· οὐκ ἄρα τὴν *ἡλικίαν* σου περιμένει ὁ πατὴρ ἐπιτρέπειν (ἵνα ἐπιτρέπῃ) πάντα [σοι], ἀλλ' ᾗ ἂν ἡμέρᾳ ἡγήσηταί σε βέλτιον αὑτοῦ φρονεῖν, ταύτῃ ἐπιτρέψει σοι καὶ αὑτὸν καὶ τὰ αὑτοῦ. – Οἶμαι ἔγωγε, ἔφη. – Εἶεν, ἦν δ' ἐγώ· τί δέ; τῷ *γείτονι* ἆρ' οὐχ ὁ αὐτὸς ὅρος ὅσπερ τῷ πατρὶ περὶ σοῦ; πότερον οἴει αὐτὸν ἐπιτρέψειν σοι τὴν αὑτοῦ οἰκίαν οἰκονομεῖν, ὅταν σε ἡγήσηται βέλτιον περὶ οἰκονομίας ἑαυτοῦ φρονεῖν, ἢ αὐτὸν *ἐπιστατήσειν*; – Ἐμοὶ ἐπιτρέψειν οἶμαι. [...] – Πρὸς Διός, ἦν δ' ἐγώ, τί ἄρα ὁ μέγας βασιλεύς; πότερον τῷ πρεσβυτάτῳ ὑεῖ, οὗ ἡ τῆς Ἀσίας ἀρχὴ γίγνεται, μᾶλλον ἂν ἐπιτρέψειεν *ἑψομένων κρεῶν* [ἐμβάλλειν] ὅτι ἂν βούληται ἐμβαλεῖν εἰς τὸν *ζωμόν*, ἢ ἡμῖν, εἰ ἀφικόμενοι παρ' ἐκεῖνον ἐνδειξαίμεθα αὐτῷ ὅτι ἡμεῖς κάλλιον φρονοῦμεν ἢ ὁ ὑὸς αὐτοῦ περὶ *ὄψου σκευασίας*; – Ἡμῖν δῆλον ὅτι, ἔφη. – Καὶ τὸν μέν γε οὐδ' ἂν σμικρὸν ἐάσειεν ἐμβαλεῖν· ἡμᾶς δέ, κἂν εἰ βουλοίμεθα *δραξάμενοι* τῶν *ἁλῶν*, ἐῷη ἂν ἐμβαλεῖν. – Πῶς γὰρ οὔ;

*ἡλικία* = *ὁ τῶν ἐτῶν ἀριθμὸς ἃ ἤδη γεγόναμεν*

*γείτων* = *ὁ ἐγγὺς ἡμῶν οἰκῶν*

*ἐπιστατέω* = *δεσπότης εἰμί, ἄρχομαι*

*ἕψω* = *ἐν θερμωτάτῳ ὕδατι παρασκευάζω ἵνα ἐσθίω*

*οἱ λέοντες κρέας ἐσθίουσιν*

*ζωμός* = *ὃ ἐπὶ τὸ κρέας τίθεμεν ἵνα βέλτιον γεῦμα ἔχῃ*

*ὄψον* = *σῖτος*

*σκευασία* = *παρασκευή*

*δράσσω τούτου* = *τῇ χειρὶ πολὺ τούτου λαμβάνω*

*ἅλς* ↔ *σάκχαρον*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τοῦ βασιλέως ἀποθανόντος, πάντες [to be in command] ……………………. βούλονται.

β) This cook knows the best *preparation* for the *sauce*.

……………………………………………………………………………………..

γ) οὐ βούλομαί σοι τὴν ἐμὴν [age] ……………………. εἰπεῖν.

δ) I always *grab meat*, I like it.

……………………………………………………………………………………..

ε) οἱ ἐμοὶ [neighbours] ……………………. τὰ ᾠᾶ [boil] ……………………. .

ζ) I always sprinkle *salt* on the *food*.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to prove | ……………………… | limit | ……………………… |
| to administer | ……………………… | to consider | ……………………… |
| to expect | ……………………… | to allow | ……………………… |

## Μελέτημα 63

**Tecmessa tells us about the moment when Ajax, in a state of anger, goes out of his tent at night, and she, surprised, tries unsuccessfully to stop him:**

Ἅπαν μαθήσῃ τοὔργον, ὡς *κοινωνὸς* ὤν.
Κεῖνος γὰρ ἄκρας νυκτός, ἡνίχ' (ὅτε) ἕσπεροι
λαμπτῆρες οὐκέτ' *ᾖθον*, *ἄμφηκες* λαβὼν
*ἐμαίετ' ἔγχος* ἐξόδους ἕρπειν κενάς (ἀχρήστους).
Κἀγὼ *'πιπλήσσω* καὶ λέγω· «Τί χρῆμα δρᾷς,
Αἴας; τί τήνδ' ἄκλητος οὔθ' ὑπ' ἀγγέλων
κληθεὶς ἀφορμᾷς πεῖραν οὔτε του *κλύων*
σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.»
Ὁ δ' εἶπε πρός με *βαί'*, ἀεὶ δ' *ὑμνούμενα·*
«Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.»
Κἀγὼ μαθοῦσ' *ἔληξ'*, ὁ δ' *ἐσσύθη* μόνος·

*κοινωνός* = *ὃς κοινοῦ βουλεύματος μετέχει*
*αἴθω* = *καίομαι*
*ἀμφήκης* = *διπλῆν ἀκμὴν ἔχων*
*ἔγχος, -ους* = *ξῖφος*
*ἐπιπλήττω* = *μέμφομαι*
*κλύω* = *ἀκούω*
*βαιός* = *ὀλίγος*
*ὑμνέω* = *ἐπαινέω, τιμάω*
*λήγω* = *παύομαι*
*σεύομαι* = *ὁρμάομαι*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) πᾶσαι αἱ λαμπάδες [were burning] …………………… .

β) I *was hearing* him taking the *sword.*

……………………………………………………………………………………..

γ) ἀεὶ [we celebrate] …………………… ἐκεῖνον τὸν ἔνδοξον στρατιώτην

[double-edged] …………………… ξῖφος ἔχοντα.

δ) Our *accomplice set off* immediately.

……………………………………………………………………………………..

ε) ἐμοὶ [reproaching] …………………… [a few words] …………………… ἀπεκρίνατο.

ζ) I *will stop* tomorrow.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| evening | ……………………… | top | ……………………… |
| silence | ……………………… | empty | ……………………… |
| to creep | ……………………… | to learn | ……………………… |

## Μελέτημα 64

**Plutarch makes clear that choosing the best teachers is the most important, and there is a nice comparison between the education of children and the cultivation of plants (note: there are some doubts about the authorship of this work "The education of children"):**

Τὸ δὲ πάντων μέγιστον καὶ κυριώτατον τῶν εἰρημένων ἔρχομαι φράσων. διδασκάλους γὰρ ζητητέον τοῖς τέκνοις, οἳ καὶ τοῖς βίοις εἰσὶν *ἀδιάβλητοι* καὶ τοῖς τρόποις *ἀνεπίληπτοι* καὶ ταῖς ἐμπειρίαις ἄριστοι· πηγὴ γὰρ καὶ *ῥίζα* καλοκαγαθίας τὸ *νομίμου* τυχεῖν παιδείας. καὶ καθάπερ τὰς *χάρακας* οἱ γεωργοὶ τοῖς φυτοῖς παρατιθέασιν, οὕτως οἱ νόμιμοι τῶν διδασκάλων *ἐμμελεῖς* τὰς *ὑποθήκας* καὶ παραινέσεις *παραπηγνύουσι* τοῖς νέοις, ἵν' ὀρθὰ τούτων *βλαστάνῃ* τὰ *ἤθη*.

*ἀδιάβλητος* = *ὃν διαβάλλειν οὐδενὶ ἔξεστιν*

*ἀνεπίληπτος* = *ὃν μέμφεσθαι οὐδενὶ ἔξεστιν*

*ῥίζα* = *τὸ τοῦ φιτοῦ μέρος ὑπὸ τῆς γῆς κείμενον*

*νόμιμος, -ος, -ον* = *κατὰ τοὺς νόμους*

*χάραξ, -ακος* = *βακτηρία ᾗ τὰ νέα φυτὰ ὑποστηρίζει*

*ἐμμελής* = *ἀγαθός, εὐπρεπής, προσήκων*

*ὑποθήκη* = *συμβουλή, παραίνεσις*

*παραπήγνυμι (παραπηγνύω)* = *παρατίθημι, δίδωμι*

*τὸ φυτὸν βλαστάνει* = *τὸ φυτὸν γίγνεται καὶ αὐξάνεται*

*ἦθος, -ους* = *δίαιτα, ὃ καθ' ἡμέραν ποιοῦμεν*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ἡ [root] …………………… ἀσθηνὴς ἦν, ἔδει δὲ [a stake] …………………… παραθεῖναι.

β) His *customs* were *irreproachable* indeed.

……………………………………………………………………………………………..

γ) οὗτος ὁ [competent] …………………… διδάσκαλος πολλὰ ἀγαθὰ αὐτῷ

[set beside] …………………… .

δ) These young boys *grew up without criticism.*

……………………………………………………………………………………………..

ε) ἀεὶ ταῖς [precepts] …………………… αὐτοῦ πείσομαι.

ζ) Citizens *who abide by the law* are the best ones.

……………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| plant | ……………………… | the same as | ……………………… |
| advice | ……………………… | manner | ……………………… |
| biggest | ……………………… | to look for | ……………………… |

## Μελέτημα 65

**Philostratus tells us about a native from India who has learnt Greek really well, something that Damis had not expected, and even less that he can express himself so well in Greek. Then, after a while, a problem of diabolical possession interrupts the meeting:**

Ταῦτα τοῦ Ἰνδοῦ διελθόντος ἐκπεσεῖν ὁ Δάμις ἑαυτοῦ φησιν ὑπ' *ἐκπλήξεως* καὶ *ἀναβοῆσαι* μέγα, μὴ γὰρ [ἔφη] ἄν ποτε νομίσαι ἄνδρα Ἰνδὸν ἐς τοῦτο ἐλάσαι γλώττης Ἑλλάδος, μηδ' ἄν, εἴπερ τὴν γλῶτταν ἠπίστατο, τοσῇδε *εὑροίᾳ* καὶ *ὥρᾳ* διελθεῖν ταῦτα. ἐπαινεῖ δὲ αὐτοῦ καὶ *βλέμμα* καὶ *μειδίαμα* καὶ τὸ μὴ *ἀθεεὶ* δοκεῖν ἐκφέρειν τὰς δόξας. [...] Μεταξὺ δὲ τῶν λόγων τούτων ἐφίσταται τοῖς σοφοῖς ὁ ἄγγελος Ἰνδοὺς ἄγων σωτηρίας δεομένους. καὶ παρῆγε *γύναιον* ἱκετεῦον ὑπὲρ παιδός, ὃν ἔφασκε μὲν ἑκκαίδεκα ἔτη γεγονέναι, *δαιμονᾶν* δὲ δύο ἔτη, τὸ δὲ ἦθος τοῦ δαίμονος *εἴρωνα* εἶναι καὶ ψεύστην.

*τοῦτό μοι ἔκπληξιν παρέχει* = *τοῦτο θαυμάζω*
*ἀναβοάω* = *μεγάλῃ φωνῇ ἐπαινέω*
*εὔροια* = *εὐπορία, ἀφθονία*
*ὥρα* = *χάρις, κάλλος*
*βλέμμα* = *ὄψις, εἶδος*
*μειδίαμα* < *μειδιάω* = *μικρὸν γελάω*
*ἀθεεί* = *τῶν θεῶν οὐκ ὠφελούντων*
*γύναιον* = *μικρὰ γυνή*
*δαιμονάω* = *δαιμονίζω, δαίμων τις τὸν ἐμὸν νοῦν κατέχει*
*εἴρων* = *ὃς προσποιεῖται καὶ πρὸς τοὺς ἄλλους παίζει*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) μεγάλην [aboundance] …………………… λόγων εἶχεν ὁ ῥήτωρ,

[without help from the gods] …………………… δὲ πάντας ἔπεισεν.

β) By his *appearance* it was possible to see that he *was possessed* by a devil.

………………………………………………………………………………………

γ) τοῦτο μεγάλην [astonishment] …………………… παρέσχε μοι.

δ) The *little woman* showed a nice *smile.*

………………………………………………………………………………………

ε) οἶδα αὐτὸν [a mocker] …………………… ὄντα, ὅμως δὲ τὴν

[charm] …………………… αὐτοῦ θαυμάζω.

ζ) When the speaker stopped talking, the listeners *praised him loudly.*

………………………………………………………………………………………

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| plant | ……………………… | the same as | ……………………… |
| advice | ……………………… | manner | ……………………… |
| biggest | ……………………… | to look for | ……………………… |

## Μελέτημα 66

**Nicias, talking about the expedition to Sicily, warns the Athenians that the only thing they will get is even more enemies and that they should not rely on the recent treaty, a treaty accepted by the enemy because they were not in a position to reject it, but things may change soon:**

Φημὶ γὰρ ὑμᾶς, πολεμίους πολλοὺς ἐνθάδε *ὑπολιπόντας,* καὶ ἑτέρους ἐπιθυμεῖν, ἐκεῖσε πλεύσαντας, δεῦρο *ἐπαγαγέσθαι.* καὶ οἴεσθε ἴσως τὰς γενομένας ὑμῖν σπονδὰς ἔχειν (εἶναι) τι βέβαιον, αἵ, *ἡσυχαζόντων* μὲν ὑμῶν, ὀνόματι σπονδαὶ ἔσονται, οὕτω γὰρ *ἐνθένδε* τε ἄνδρες ἔπραξαν αὐτὰ καὶ ἐκ τῶν ἐναντίων, *σφαλέντων* δέ που [ὑμῶν] *ἀξιόχρεῳ* δυνάμει, ταχεῖαν τὴν *ἐπιχείρησιν* ἡμῖν οἱ ἐχθροὶ ποιήσονται, οἷς πρῶτον μὲν διὰ *συμφορῶν* ἡ *σύμβασις* καὶ ἐκ τοῦ αἰσχίονος ἢ ἡμῖν [εἶναι] (ἐκ τοῦ εἶναι...) κατ' ἀνάγκην ἐγένετο, ἔπειτα [δὲ] ἐν αὐτῇ ταύτῃ [τῇ συμβάσει] πολλὰ τὰ ἀμφισβητούμενα ἔχομεν. εἰσὶ δ' οἳ οὐδὲ ταύτην πω τὴν *ὁμολογίαν* ἐδέξαντο, καὶ οὐχ οἱ ἀσθενέστατοι.

*ὑπολείπω* = *καταλείπω*

*ἐπάγομαι* = *φέρω πρὸς ἐμέ*

*ἡσυχάζω* = *οὐδὲν ποιῶ, οὐ μάχομαι, ἡσυχίαν ἄγω*

*ἐνθένδε ἄνδρες* = *ἄνδρες τῆς ἡμετέρας χώρας*

*σφάλλομαι* ↔ *νικάω*

*ἀξιόχρεως, -ων* = *ἱκανός, μέγας*

*ἐπιχείρησις* = *ἐπιχείρημα* < *ἐπιχειρέω* = *πειράω*

*συμφορά* = *δυστυχία*

*σύμβασις* = *συνθῆκαι*

*ὁμολογία* = *συνθῆκαι*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τοῖς [people from here] …………………… ἔδοξε μὴ μάχεσθαι.

β) Not everybody wanted to sign that *worthy agreement*.

……………………………………………………………………………………..

γ) ἐὰν τοῦτο ποιῇς, πλείους πολεμίους εἰς τὴν πατρίδα [you will bring] …………………… .

δ) I know that you *will fail* in that *enterprise*.

……………………………………………………………………………………..

ε) ταύτην τὴν [misfortune] …………………… παθόντι ἔδοξε τὴν πόλιν

[to abandon] …………………… .

ζ) When they Spartans accepted the *agreement*, the Athenians could *be at ease*.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to think | ……………………… | weak | ……………………… |
| safe | ……………………… | power | ……………………… |
| to accept | ……………………… | other | ……………………… |

## Μελέτημα 67

**The prosecutor asks the judges and everybody else to be impartial, and insists on the point that they themselves would get angry if somebody with power asked them not to be impartial but to favour someone in a trial:**

Ἐγὼ μέν, ὦ ἄνδρες δικασταί, καὶ ὑμᾶς αἰτοῦμαι τὰ δίκαια *ψηφίσασθαι*, καὶ τῶν στρατηγῶν δέομαι, ἐπεὶ καὶ ἐν τῇ ἄλλῃ ἀρχῇ πολλοῦ ἄξιοι τῇ πόλει γεγόνασι, καὶ περὶ τῶν τῆς *ἀστρατείας* γραφῶν κοινοὺς εἶναι τῷ τε διώκοντι καὶ τῷ φεύγοντι, καὶ μὴ βοηθοῦντας ᾧ ἂν βούλωνται, πᾶσαν *προθυμίαν* ἔχειν παρὰ τὸ δίκαιον ὑμᾶς ψηφίσασθαι, *ἐνθυμουμένους* ὅτι σφόδρ' ἂν ἠγανακτεῖτε, εἰ ἐν τῇ ὑμετέρᾳ *δοκιμασίᾳ* οἱ *θεσμοθέται* ἀναβάντες ὑμῶν ἐδέοντο καταψηφίσασθαι, ἡγούμενοι δεινὸν εἶναι εἰ οἱ τιθέντες τὸν ἀγῶνα καὶ τὴν ψῆφον διδόντες *παρακελεύσονται* τῶν μὲν μὴ καταψηφίζεσθαι, τῶν δὲ καταψηφίζεσθαι. τί δ' ἂν αἴσχιον *ἔθος* ἢ δεινότερον πρᾶγμα τούτου ἐν τῇ πόλει γένοιτο, εἰ τολμήσει ὁ μὲν ἄρχων ἐν ταῖς τῶν *ἐπικλήρων* δίκαις *ἀντιβολεῖν* καὶ *ἱκετεύειν* τοὺς δικαστὰς ὅ τι ἂν βούληται πραχθῆναι, ὁ δὲ πολέμαρχος καὶ οἱ ἕνδεκα δεήσονται ἐν ταῖς δίκαις ταῖς ὑφ' ἑαυτῶν εἰσαγομέναις, ὥσπερ καὶ νῦν;

*ἐὰν ψηφιζόμεθα, τοὺς ἄρχοντας ἐλευθερῶς αἱρούμεθα*

*ἀστρατεία = τὸ τῷ στρατεύματι μὴ παρεῖναι*

*προθυμία = πόθος, ἐπιθυμία*

*ἐνθυμέω = νομίζω*

*δοκιμασία = ἐξέτασις*

*θεσμοθέτης = ὅς νόμους τίθησιν*

*παρακελεύομαι = ἐποτρύνω*

*ἐπίκληρος = ὅς τὰ τοῦ ἀποθανόντος πατρὸς χρήματα δέχεται*

*ἀντιβολέω = αἰτέω*

*ἱκετεύω = πρὸ τῶν θεῶν αἰτέω*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) ὁ νεανίας [begged] …………………….

[exemption of military service] …………………… χρῆσθαι.

β) The *lawmakers entreated* them not to kill the prisoners.

………………………………………………………………………………………..

γ) τοῖς Λακεδαιμονίοις περὶ τούτου [voted] ……………………. .

δ) The boy, having become *heir, was meditating* about what had to be done.

………………………………………………………………………………………..

ε) [Desire] ……………………. ἔχω τοῦ μάχεσθαι.

ζ) I *urged* my students to do the *test*.

………………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| to consider | ……………………… | matter | ……………………… |
| to help | ……………………… | strongly | ……………………… |
| vote | ……………………… | worthy | ……………………… |

### Μελέτημα 68

**Socrates wants Euthyphro to help him to find out what holiness is, as it happens that this man has prosecuted his own father for the sake of holiness. When he tries to leave, Socrates tries to hold him back, and he says why:**

Ἐξ ἀρχῆς ἄρα ἡμῖν πάλιν σκεπτέον τί ἐστι τὸ *ὅσιον*, ὡς ἐγὼ πρὶν ἂν μάθω ἑκὼν εἶναι οὐκ *ἀποδειλιάσω*. ἀλλὰ μή με ἀτιμάσῃς ἀλλὰ παντὶ τρόπῳ προσσχὼν τὸν νοῦν ὅτι μάλιστα νῦν εἰπὲ τὴν ἀλήθειαν· οἶσθα γὰρ εἴπερ τις ἄλλος ἀνθρώπων, καὶ οὐκ *ἀφετέος* εἶ ὥσπερ ὁ Πρωτεὺς πρὶν ἂν εἴπῃς. εἰ γὰρ μὴ ᾔδησθα σαφῶς τό τε ὅσιον καὶ τὸ ἀνόσιον, οὐκ ἔστιν ὅπως ἄν ποτε ἐπεχείρησας ὑπὲρ ἀνδρὸς *θητὸς* ἄνδρα πρεσβύτην πατέρα *διωκάθειν* φόνου, ἀλλὰ καὶ τοὺς θεοὺς ἂν ἔδεισας *παρακινδυνεύειν* μὴ οὐκ ὀρθῶς αὐτὸ ποιήσοις, καὶ τοὺς ἀνθρώπους *ᾐσχύνθης*· νῦν δὲ εὖ οἶδα ὅτι σαφῶς οἴει εἰδέναι τό τε ὅσιον καὶ μή. εἰπὲ οὖν, ὦ βέλτιστε Εὐθύφρων, καὶ μὴ ἀποκρύψῃ ὅτι αὐτὸ ἡγῇ. {ΕΥΘ.} Εἰς αὖθις τοίνυν, ὦ Σώκρατες· νῦν γὰρ σπεύδω ποι, καί μοι ὥρα ἀπιέναι. {ΣΩ.} Οἷα ποιεῖς, ὦ ἑταῖρε! ἀπ' ἐλπίδος με καταβαλὼν μεγάλης ἀπέρχῃ ἣν εἶχον, ὡς παρὰ σοῦ μαθὼν τά τε ὅσια καὶ [τὰ] μὴ [ὅσια], καὶ τῆς πρὸς Μέλητον γραφῆς ἀπαλλάξομαι, ἐνδειξάμενος ἐκείνῳ ὅτι σοφὸς ἤδη παρ' Εὐθύφρονος τὰ θεῖα γέγονα καὶ ὅτι οὐκέτι ὑπ' *ἀγνοίας αὐτοσχεδιάζω* οὐδὲ *καινοτομῶ* περὶ αὐτά (περὶ τὰ θεῖα).

*ὅσιος* = *θεῖος*

*ἀποδειλιάω* = *φοβέομαι*

*ἀφετέος εἶ μοι* = *ἔξεστί μοί σε ἀφιέναι / σε ἀποπέμπειν*

*θής, θητός ὁ* = *ἐλεύθερος θεραπὼν μισθὸν δεχόμενος (οὐδαμῶς δοῦλος)*

*διωκάθω* = *ἐν δίκῃ διώκω, εἰς δίκην ὑπάγω*

*παρακινδυνεύω* = *κινδυνεύω*

*αἰσχύνομαι αὐτούς* = *οὐ βούλομαι αὐτούς με ἰδεῖν ἅτε κακόν τι ποιήσας*

*ἀγνοία* ↔ *γνῶσις*

*αὐτοσχεδιάζω* = *οὐ παρασκευασάμενος διαλέγομαι*

*καινοτομέω* = *μεταβάλλω, νέον τι ποιῶ*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) πάντες οἱ [innovators] ........................ [to be released] ........................ εἰσίν.

β) This man wants to *prosecute* his own father.

..............................................................................................................

γ) τὴν ἑαυτῶν [ignorance] ........................ δεικνύναι

[they were afraid] ........................ .

δ) I *feel ashamed in front of* the priest, as I know nothing about *holy matters*.

..............................................................................................................

ε) δεήσει με [to ad-lib] ........................ , τὸν γὰρ λόγον οὐ παρεσκεύασα.

ζ) These *servants will be in danger* of being killed by the enemy.

..............................................................................................................

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| correctly | .......................... | to get rid of | .......................... |
| method | .......................... | beginning | .......................... |
| willing | .......................... | clearly | .......................... |

## Μελέτημα 69

**It seems that the Athenian oligarchs do not manage to impose their political system, and several cities try to regain freedom. Peisander, on the other side, goes the opposite direction, helped by oligarchs in Athens:**

περὶ μὲν οὖν τὴν Θάσον τἀναντία τοῖς τὴν ὀλιγαρχίαν καθιστᾶσι τῶν Ἀθηναίων ἐγένετο, δοκεῖν δέ μοι καὶ ἐν ἄλλοις πολλοῖς τῶν *ὑπηκόων*· σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις καὶ ἄδειαν τῶν πρασσομένων, ἐχώρησαν ἐπὶ τὴν *ἄντικρυς* ἐλευθερίαν, τῆς ἀπὸ τῶν Ἀθηναίων *ὑπούλου εὐνομίας* οὐ *προτιμήσαντες*. οἱ δὲ ἀμφὶ τὸν Πείσανδρον παραπλέοντές τε, ὥσπερ ἐδέδοκτο, τοὺς δήμους (τὰς δημοκρατίας) ἐν ταῖς πόλεσι κατέλυον, καὶ [...] ἦλθον ἐς τὰς Ἀθήνας. καὶ καταλαμβάνουσι τὰ πλεῖστα τοῖς ἑταίροις [ἤδη] *προειργασμένα*. καὶ γὰρ Ἀνδροκλέα τέ τινα, τοῦ δήμου μάλιστα *προεστῶτα, συστάντες* τινὲς τῶν νεωτέρων κρύφα ἀποκτείνουσιν, ὅσπερ καὶ τὸν Ἀλκιβιάδην οὐχ ἥκιστα *ἐξήλασε* [...]· καὶ ἄλλους τινὰς *ἀνεπιτηδείους* τῷ αὐτῷ τρόπῳ κρύφα ἀνήλωσαν (ἀπέκτειναν).

*ὑπήκοος* = *ὃς πείθεται, ὃς ὑπακούει*

*ἄντικρυς* = *εὐθύς, ἀόκνως*

*ὕπουλος, -ος, -ον* = *ψευδής*

*εὐνομία* = *κόσμος, ἀγαθὴ ἀρχή*

*προτιμάω τούτου* = *τούτου ἐπιμελέομαι, νομίζω τοῦτο πολλοῦ ἄξιον εἶναι*

*προεργάζομαι τοῦτο* = *τοῦτο ποιῶ πρὶν ἄλλα ποιεῖν*

*προίσταμαι αὐτῶν* = *ὁ αὐτῶν προστάτης εἰμί*

*συνίστανται οἱ νεανίαι* = *οἱ νεανίαι ἑταιρείαν πράττουσιν ἵνα τι ποιῶσιν*

*ἐξελαύνω* = *ἐκ τῆς χώρας ἐκβάλλω, φυγὴν καταγιγνώσκω*

*ἀνεπιτήδειος* ↔ *ἐπιτήδειος, χρήσιμος, φίλος*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) τῆς [law and order] …………………… ἕνεκα αὐτοὺς [sent into exile] …………………… .

β) *The previous events* prevented him from becoming a general.

……………………………………………………………………………………..

γ) οἱ πολῖται [formed a team] …………………… καὶ [without hesitation] ……………………

τοὺς αἰχμαλώτους ἀπέκτειναν.

δ) All the *subjects* obeyed the *leader* of the soldiers.

……………………………………………………………………………………..

ε) οἱ ᾿Αθηναῖοι οὐ [gave importance] …………………… τοῦ τοὺς

[inconvenient people] …………………… ἐκβαλεῖν.

ζ) Do not rely on this man, as he is *deceitful*.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| especially | ……………………… | minimally | ……………………… |
| to destroy | ……………………… | prudence | ……………………… |
| to sail along | ……………………… | opposite | ……………………… |

## Μελέτημα 70

**(continuation of 69) A couple of agreements had taken place about the soldiers and about who should share the power, and political life went on but with the assemblies under control of those in power and with a sad destiny for those who opposed them:**

λόγος τε ἐκ τοῦ *φανεροῦ* (φανερῶς) προείργαστο αὐτοῖς ὡς οὔτε *μισθοφορητέον* εἴη ἄλλους ἢ τοὺς στρατευομένους οὔτε *μεθεκτέον* [εἴη] τῶν πραγμάτων πλέοσιν ἢ πεντακισχιλίοις, καὶ τούτοις οἳ ἂν μάλιστα τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν ὠφελεῖν οἷοί τε ὦσιν. ἦν δὲ τοῦτο εὐπρεπὲς πρὸς τοὺς πλείους, ἐπεὶ ἕξειν γε τὴν πόλιν οἵπερ καὶ [τὴν ἀρχὴν] *μεθίστασαν* ἔμελλον (ἕξειν τὴν πόλιν ἔμελλον). [ὁ] δῆμος μέντοι ὅμως ἔτι καὶ [ἡ] βουλὴ ἡ ἀπὸ τοῦ *κυάμου* (ψήφοις ᾑρημένα) συνελέγετο (ἔτι συνελέγετο)· ἐβούλευον δὲ οὐδὲν ὅ τι μὴ τοῖς συνεστῶσι δοκοίη, ἀλλὰ καὶ οἱ λέγοντες ἐκ τούτων (ἐκ τῶν ἀρχόντων) ἦσαν, καὶ τὰ *ῥηθησόμενα* πρότερον αὐτοῖς *προύσκεπτο*. ἀντέλεγέ τε οὐδεὶς ἔτι τῶν ἄλλων, δεδιὼς καὶ ὁρῶν πολὺ [ὂν] τὸ *συνεστηκός*· εἰ δέ τις καὶ ἀντείποι, εὐθὺς ἐκ τρόπου τινὸς ἐπιτηδείου ἐτεθνήκει, καὶ τῶν δρασάντων οὔτε ζήτησις οὔτ', εἰ ὑποπτεύοιντο, *δικαίωσις* ἐγίγνετο.

*φανερός ↔ κρυπτός , ἀπόκρυφος*

*μισθοφορέω αὐτόν = αὐτῷ χρήματα δίδωμι ἵνα μοι ἐργάζῃ.*

*μεθεκτέος < μετέχω*

*μεθίστημι = μεταβάλλω*

*κύαμος = μικρὸν λάχανον ᾧ ἐψηφίζοντο ὡς μικρᾳ ψήφῳ*

*ῥηθήσομαι < λέγω*

*προσκέπτομαι = σκέπτομαι πρὸ ἄλλου τινὸς*

*τὸ συνεστηκός = ὁ ἤδη παρεσκευαμένον κεῖται*

*ζήτησις = ἡ τοῦ θητεῖν πράξις*

*δικαίωσις = κόλασις, καταδίκη*

**Fill the blanks in α-γ-ε and translate β-δ-ζ:**

α) μικροὺς λίθους οὐκ ἔχομεν, δεήσει ἡμᾶς [beans] ……………………. χρωμένους ψηφίζεσθαι.

β) The *punishment must be shared* by everybody.

……………………………………………………………………………………..

γ) βούλομαι [check in advance] ……………………. πάντα ἃ [will be said] ……………………. .

δ) He did this *publicly*.

……………………………………………………………………………………..

ε) ἐν νῷ ἔχω [what has been prepared] ……………………. [to change] ……………………. .

ζ) I *hired* many men to collaborate in the *search*.

……………………………………………………………………………………..

**Translate these easy words related to the text:**

| | | | |
|---|---|---|---|
| convenient | ……………………… | to fear | ……………………… |
| to gather | ……………………… | to suspect | ……………………… |
| to help | ……………………… | council | ……………………… |

## Key to the exercises

Μελέτημα 1

α) ἡσθέντες, ἄναυδοι
β) οἱ ἐνάλιοι θεοὶ ἀληθῶς χαλεποί εἰσιν, ὡς τὸ εἰκός.
γ) πρασιᾷ, παραπλήσια
δ) σπουδῇ ἀφικόμενοι ἐκεῖ ἐφέστημεν.
ε) πηγὰς
ζ) τὸ ὕδωρ ἀπὸ τοῦ ποταμοῦ πρὸς τὴν πόλιν διωχετεύσαμεν.

Μελέτημα 2

α) ἐπιθυμίαν, συνεῖναι
β) οἱ παῖδες φοιτῶσιν πρὸς τὸ διδασκαλεῖον διὰ τραχείας ὁδοῦ.
γ) πυκνοὺς, σφόδρα
δ) ἐπυθόμην τὰ ἄνθη αὐτοῦ ἀπομαρανθείσας.
ε) ἀσπάζεσθαι
ζ) πρὸς τὰς Ἀθήνας θαμίζει.

Μελέτημα 3

α) ὑπάρχει
β) εἰκότως, αὐτὸν μισοῦσιν.
γ) ἥκιστα, τῷ πλήθει
δ) ἔδοξέ μοι ὑπὲρ τοῦ κηδεστοῦ τιμωρεῖν.
ε) προσήκει, ἀνεψίῳ
ζ) ἔχθραν ὁρῶ ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ.

Μελέτημα 4

α) ἥκει, τῷ ὄρθρῳ
β) τὴν θύραν ἀνέῳξαν καὶ ταχέως εἰσῆλθον ἐπειγόμενοι.
γ) ἐγρήγορε, τηνικάδε
δ) ταύτην τὴν βίβλον ἀνέγνω πρῴην.
ε) τῇ παρελθούσῃ ἡμέρᾳ
ζ) αὐτὸν σφόδρα ἔκρουσα λίθῳ.

Μελέτημα 5

α) προῄδη, ἐλογισάμην
β) ἑκόντες ἴασιν, φίλοι γάρ εἰσιν οὐδὲ ἔχθροι.
γ) τῳ
δ) πολλὴν δαπάνην ἐν ταῖς Ἀθήναις ἐποίησαν.
ε) λυσιτελεῖ, πραγματεία
ζ) ἰσχυρὰ οὖσα, ἀναδύεσθαι ἐδυνήθη.

Μελέτημα 6

α) ἠλέουν, ζημίαν
β) ἀεὶ αὐτὸν κακολογοῦσι διότι τοῦτο ἔδρασεν.
γ) ἐπιχειρεῖν
δ) ἐν τούτῳ τῷ ἐπιχειρήματι ἐδυστύχησεν.
ε) ἐβίασαν, ὠρφανίσθησαν
ζ) τὸ βέλος τοῦ κέντρου οὐκ ἔτυχεν.

Μελέτημα 7

α) παραπλήσιόν, τροφὴ
β) οἱ πρέσβεις ἀπηυθαδίσαντο πρὸς τὸν βασιλέα, εὐεργέτην πρὸς τοὺς πολίτας ἄνδρα.
γ) παρακελεύσεως, ξυνορίδα
δ) ὁ πατὴρ αὐτὸν καθ᾽ ἡμέραν ἐσίτει.
ε) σιτήσεως
ζ) ἐδεῖτο πρὸς τὰς Ἀθήνας ὡς τάχιστα ζεύγει τινὶ ἰέναι.

Μελέτημα 8

α) προσέμενον, ἡ φρουρὰ
β) οἱ κατάσκοποι ὑπὸ τῶν ἡμετέρων φυλάκων ᾑρέθησαν.
γ) γνώμη, περιπόλια
δ) σῖτον πολλαχόθεν εἰσεκόμισαν.
ε) περιέπεμψαν, πρόπλους
ζ) πῶς ἂν δυναίμεθα τοῦτο ἄνευ χρημάτων προσφέρειν;

Μελέτημα 9

α) ἱκανὸν, ἀπέβαλεν

β) αὐτῷ ἐπέθεντο διὰ τὴν ὑποψίαν.
γ) ἐπιβουλὴν, προέπαθεν
δ) τοῦτο τὸ βούλευμα ἀπέλυσαν.
ε) μηνύει
ζ) ἐπίδοξός ἐστι τοῦτο αἱρήσειν.

Μελέτημα 10

α) τὸν πάππον, ἐκτρέφουσιν
β) αὐτὸν ἔθαψαν, ἄθλιον ἄνδρα.
γ) συλλήψεως, ἐλέγχειν.
δ) οἱ δικασταὶ αὐτοῦ κατέγνωσαν ἀκρίτου.
ε) ἐστέρησαν, ὑπολοίπων
ζ) τοῦτο ποιῶν, οὐδὲν περανεῖς.

Μελέτημα 11

α) διαπορθμεύσασαι, ἐφάνησαν
β) παραγενόμενος, ὁ λύκος τὸν κύνα ἠγρίωσεν.
γ) διεκόμισε, τὸ βουκόλιον
δ) ὁ Ποσειδῶν τέρας ἐκ τῆς θαλάττης ἀνέδωκεν.
ε) ἐπέταξαν, καταθύειν
ζ) τῷ Κρήτι τέρατι ἐμαχεσάμην.

Μελέτημα 12

α) φύσας, ἀφῆκεν
β) ὁ Προμηθεὺς τὸ πῦρ τῷ ἀνθρωπινῷ φύλῳ ἔδωκεν.
γ) σύγχει, σπάνει
δ) αὐτὸν ἠξίωσα φονικῆς δίκης.
ε) ἔνοχον, τροφεὺς
ζ) αἴτιοι μὲν οὐκ ἦσαν, καθαροὶ δέ.

Μελέτημα 13

α) συνανέπεισαν, πληροῦν
β) αὐτοῖς ἔδοξε πρὸς τοὺς ἠπειρώτας ἐπιχειρεῖν.
γ) ἑκασταχόθεν
δ) ἐκείνῳ τῷ ἦρι τὸ καῦμα ἀίδιον ἦν.

ε) ἀντιτολμᾶν, ἀπόπειραν
ζ) νομίζω αὐτὸν τοῦτο κατεργάσεσθαι.

Μελέτημα 14

α) ἀδελφιδὸν, χρηστὸν
β) οἱ σοὶ κηδεσταὶ οὐδέποτε βούλονται ἀπροίκους γυναῖκας γαμεῖν.
γ) ἐπηνέχθη
δ) παρὸν μεγάλην προῖκα κτᾶσθαι, οὐκ ἐβουλήθην.
ε) ἰδίᾳ
ζ) νομίζω τοῦτο τὸ στράτευμα ἔλαττον εἶναι τῆς σῆς.

Μελέτημα 15

α) διακονοῦντες, ὑπέρῳ
β) ἔκλεισα τὴν θύραν τῷ μοχλῷ.
γ) οἰκέτας, τῷ κορήθρῳ
δ) οὕτως ἀπορῶν, δέομαι ἐπῳδής τινος.
ε) διάγεται, ὑπηρετοῦσιν
ζ) ἐν ἐκείνῳ τῷ καταγωγίῳ τέτταρας ἡμέρας ἔμενον.

Μελέτημα 16

α) σκηνοῦν, διατελεῖτε
β) πολλὰ προσκρούματα ἀπὸ αὐτῶν ἐδεξάμεθα.
γ) ἀριστήσαντες, διάξομεν
δ) εἰώθαμεν ἐν τῇ φρουρᾷ μένειν.
ε) συμβαίνει, παροινεῖς
ζ) οἱ ἄρχοντες αὐτοὺς τῷ στρατεύματι προέγραψαν.

Μελέτημα 17

α) ἀρχαιρεσίοις, διαιροῦνται
β) οὐδέποτε μὲν ὁμολογοῦσιν, ἀεὶ δὲ διαφέρονται.
γ) προσποιεῖσθαι, ἐπιούσῃ
δ) δεῖ με διακρίνεσθαι τίς ὕπατος πρὸς τὰς Ἀθήνας εἶσι.
ε) ὁρκοῦν.
ζ) τὸ μὲν ἀστικὸν οὐκ ἔδωκε τοῦτο αὐτῷ, ὁ δὲ ἐκληρώσατο.

Μελέτημα 18

α) ἄρνυσθαι, ἀντιλέγεις
β) μετεστήσατο ἄλλοθι, ἀμύητος γὰρ ἦν περὶ τὰ μυστήρια.
γ) στρατηγίδα
δ) ὁ πάντα ἔχαρνος ἤδη οἴχεται.
ε) ἐξώρμουν
ζ) καὶ εἰ ἐκεῖνο τὸ μειράκιον ἀπέκτεινεν, ἄδειαν ἔχει.

Μελέτημα 19

α) σχεδὸν, πολιτείαν
β) ἐὰν βούλῃ ἐνθάδε οἰκεῖν, δεῖ σε περὶ τούτων τῶν πραγμάτων κατασιωπᾶν.
γ) ἐφεξῆς
δ) βούλομαι ἐξετάζειν διὰ τί ἀεὶ ἐν ταῖς συλλογαῖς διαλανθάνει.
ε) πολιτεύεσθαι, πανταχοῦ
ζ) ὁ πατὴρ τὸν μῦθον τοῖς παισὶ διῆλθεν.

Μελέτημα 20

α) ἕξιν, συλλαμβάνει
β) ἐπιδὸς τοῦτο τῷ σῷ δούλῳ, οὗτος γὰρ ποιήσει.
γ) σχολικὰ, ἥσθης
δ) τοῦτο ὑπέβαλεν, ὁ δὲ Περικλῆς, τὰ εἰρημένα ἀκούσας, ἀντέστη.
ε) ὑπαγορεύσω
ζ) ἀραιῶς τοιαῦτα πλάσματα ποιῶ.

Μελέτημα 21

α) εἰδῆτε, εἰδὼς
β) δεῖ με κρείττους συμμάχους ἔχειν, βούλομαι δὲ τούτους προσλαβεῖν.
γ) θαρρύνειν
δ) νῦν χρημάτων ἀπορῶ, ὁ δὲ Περικλῆς οὐδὲν κέκτηται.
ε) συμβουλεύεσθαι
ζ) εὐδαιμονίζομεν τοὺς στρατηγοὺς πολλαπλασίους στρατιώτας ἔχοντας.

Μελέτημα 22

α) ἀκαταγωνιστοὶ

β) πάντα τὰ βέλη πρὸς τὰς βάσεις καθίεσαν.
γ) ἠκόντισαν
δ) ἠγανάκτησε διότι ἡ οἰκία ἥψατο.
ε) φολίδα, ἀνυπέρβλητός
ζ) ἡ τῆς δρυὸς ὄψις καλλίστη ἦν.

Μελέτημα 23

α) ὅσον, κατετόξευσαν
β) οἱ παῖδες πάντα τὸν τυρὸν ἐνέφαγον.
γ) πέλαγει.
δ) πάντας τοὺς βότρυς ἀποθλίψαντες οἶνον ἐκτησάμεθα.
ε) ἐπιλέλοιπεν
ζ) ἠξίωσαν τοῦτο τὸ ὕδωρ συμπηγνύναι.

Μελέτημα 24

α) προσλαβῶμεν, στερήσουσιν
β) κακοὶ ἄνθρωποι οὐχ ὑπάρχουσιν ἐν ταύτῃ τῇ πόλει.
γ) χρήσαντος, ἐφείδομεν
δ) οὗτος ὁ στρατηγὸς ἀεὶ τῶν στρατιωτῶν ἀμελεῖ.
ε) ἐπιλείψω, παρακειμένας
ζ) ὁ Περικλῆς ἐπεξῆλθε διὰ τί οἱ Ἀθηναῖοι τῆς ἄλλης πόλεως διήμαρτον.

Μελέτημα 25

α) εὐώνυμον
β) ἔδεισαν μὴ οἱ πολέμιοι ἀφίκοιντο.
γ) ἀνέπτυξαν, ἐποιήσαντο
δ) τοῖς συμμάχοις συνέτυχον καὶ ὁμοῦ προυχώρησαν.
ε) μεῖον, ἀπηλλάγησαν
ζ) ἔδοξεν αὐτοῖς πρὸς τὴν πόλιν προσάγειν καὶ αὐτὴν περιπτύσσειν.

Μελέτημα 26

α) ἐπιτήδεια, ναυκρατήσαντες
β) πάντα τὰ σκευῆ καὶ τοὺς ἀσθενεῖς εἰσήνεγκον.
γ) διάνοιαν, ᾔσθοντο
δ) οἱ Πέρσαι, ἰδόντες τὴν ἀπόκλῃσιν, ἐφοβοῦντο.

ε) τειχίσματι, ἀπέλαβον
ζ) τὴν πόλιν ἐφρούρησαν.

Μελέτημα 27

α) συνήργησα, χρίζειν
β) ἐπήγγειλα ὅτι οἱ στρατιῶται ἤδη καθωπλισμένοι ἦσαν.
γ) δέδια, σπείρωσιν
δ) ἡ τῶν βοῶν κατάζευξις χαλεπωτάτη ἐγένετο.
ε) ἀνέδυσαν, κρύφα
ζ) τοῦτό σοι ἐγχειριῶ ἐάν μοι τἀληθῆ λέγῃς.

Μελέτημα 28

α) ἱδρῶτος, δημηγοροῦντος
β) ἐμοῦ τοῦτο εἰπόντος, ἠρυθρίασεν.
γ) εἱλκύσθης, ἀνένευσεν
δ) τέλος δὲ διωμολόγησαν τὸν Σωκράτη σοφώτερον εἶναι.
ε) ἔχει, μόγις
ζ) κατένευσεν, ῥᾷστον δὲ ἦν ἡμῖν τὴν ἀμαθίαν αὐτοῦ αἰσθάνεσθαι.

Μελέτημα 29

α) προβούλευμα, ἀντίπαλος
β) ὄψει αὐτὴν τὸν πόλεμον καταλύουσαν.
γ) ὑπέρχονται
δ) τὴν χώραν ἀσφαλῶς κατέχει.
ε) τελευτήσαντος, διεπράξαντο
ζ) ἐπειδὴ τοῦτο συνέβη, τοὺς Ἀθηναίους μάλιστα ἐθεράπευσα.

Μελέτημα 30

α) νεότητι, ἐνεστατοπέδευσαν
β) οἱ πολέμιοι ἔτεμον ἐκεῖνον τὸν τόπον, τόπον τινὰ γεωργεῖν ἐπιτήδειον.
γ) εἰσβολῇ
δ) ἡ φιλοσοφία κατὰ ἐκεῖνον τὸν χρόνον.
ε) οὔπω, ἀπήντησαν.
ζ) αὐτοὺς περιεῖδε τοὺς πολεμίους ὁρμῶντας.

Μελέτημα 31

α) σχολαίως, δυσπορεύτου
β) ἔδει με τὸ στράτευμα συνεπισπεύδειν.
γ) στενοχωρίας, πρανῆ
δ) θεωρᾶσθαι ἐδυνάμεθα τὴν τῶν ἐπὶ τοῦ γηλόφου εὐταξίαν.
ε) κάνδυν, πηλῷ
ζ) τὸν ἵππον ἐκ τοῦ ὕδατος συνεξεβιβάσαμεν.

Μελέτημα 32

α) κατὰ στόμα
β) προυτέρησαν διότι τὸ στράτευμα ὀρθῶς παρέταξαν.
γ) δυσχωρίαν, ἐπέρρευσαν
δ) οἱ πολέμιοι τὰς τρεῖς πόλεις κατέλαβον.
ε) ἐξεχύθησαν, συγκατέβησαν
ζ) τὴν χώραν λεηλατήσαντες, ἀνεκλήθησαν.

Μελέτημα 33

α) ἡνίκα, βρέφος
β) ὁ κύκλωψ πάντα τὰ τοῦ σώματος κῶλα κατέβρωσεν.
γ) βάσεσιν, ὀχεῖται
δ) τηνικαῦτα οἱ Ἀθηναῖοι πάντας τοὺς πολεμίους ἐνίκησαν.
ε) ἀπόλλυσθαι, ἀπέλλαξαν
ζ) οὗτος ὁ λόγος οὐχ ὑπάρχει ἐν ταύτῃ τῇ γλώττῃ.

Μελέτημα 34

α) ἀνεπειρῶντο, τὸν ἔκπλουν
β) πάντες κατέγνωσαν αὐτὸν ἄριστον στρατηγὸν ὄντα.
γ) ἀπέλαβον, αὐτοῦ
δ) οὐ βούλομαι τοὺς πολεμίους ἀνεῖναι ἀλλὰ τρέπεσθαι.
ε) ἐπιβουλεύομεν
ζ) τῇ προτέρᾳ τοὺς συμμάχους ἐπῆραν.

Μελέτημα 35

α) οἱ ἀτυχοῦντες, ἐπιπίπτουσιν

β) καίπερ ἄδοξος ὤν, ταύτην τὴν παράκλησιν τοῖς στρατιώταις ἐποίησεν.
γ) ταπεινοὶ, φρονοῦσιν
δ) συνεβούλευσαν μὴ πρὸς τοὺς Πέρσας πολεμεῖν.
ε) συνέπεσεν, παρεκάλεσεν
ζ) ἐκεῖσε εἰς τὸν καιρὸν ἀφίκεσθαι ἐπεχειρήσαμεν.

Μελέτημα 36

α) διήρπασε
β) ἔδεισαν ἀκούοντες ἐκείνου τοῦ ἀνθρώπου φθεγγομένου.
γ) ὁρμᾶν, τοὺς εὐηθίζοντας
δ) αὐτοὺς ἅτε ὑποκατακλινομένους διεπτόησα.
ε) ἀντελάβοντο
ζ) ἔδει με συστρέφειν ἵνα τοιαύτην φλυαρίαν εἴποιμι.

Μελέτημα 37

α) ἀριστίνδην, διαφορὰς
β) ἥκων εἶπεν ὅτι ὁ σφέτερος ἀδελφὸς ἐνίκησεν.
γ) ἔδειτο
δ) αὐτοὺς πρὸς τὰς Ἀθήνας διακομίζειν αἱροῦμαι.
ε) ἐνέτεινε, φιλότητα
ζ) κρείττονα θυμὸν ἐν αὐτῷ ὁρῶ ἢ ἐν ἐμαυτῷ.

Μελέτημα 38

α) δυσπειστὸς, μίμημα
β) ἡ πρᾶξις τῷ τοῦ Περικλέους βουλεύματι οὐ συνέβαλεν.
γ) δημιουργὸν, παραλογίζεσθαι
δ) τὸ μὲν σκότος μισῶ, τὴν δὲ ἐνάργειαν προαιροῦμαι.
ε) ἐγοήτευον, μέχρι
ζ) τῇ τῆς μάχης ὄψει ἀνεπτερώθη.

Μελέτημα 39

α) ἑάλω
β) ἔδεισα μὴ νεωτερίζοιεν.
γ) ὑποψία, καθέστηκε
δ) ἐκεῖνοι οἱ ἀλλόφυλοι ἐνδεεῖς ὕδατος ἦσαν.

ε) προσεδεήθησαν, μηκύνειν
ζ) ἔδεξεν αὐτῷ ἄρχοντι/ἄρχοντα τῆς νεωτεροποιίας γενέσθαι.

Μελέτημα 40

α) ἐπιγνόντες, τοὺς συνθύτας
β) τῆς μάχης τελεσαμένης, οἱ πολέμιοι ἀνεχώρησαν.
γ) συμφυεῖς
δ) πολλοὺς ἀθλητὰς πρὸς τὴν ἰσθμιάδα συνήθροισαν.
ε) συνέβη
ζ) ἐνεδρεύσαντες αὐτοὺς παντελῶς ὑπερέβαλον.

Μελέτημα 41

α) ὑπερήρεσκε, ἐπιφανὴς
β) δεῖ ἡμᾶς αὐτοὺς διὰ τῆς Ἑλλάδος διαθέσθαι.
γ) καθαρεύειν, ὑπάγεσθαι
δ) προσέθεσαν μηδὲν ἀνήκεστον ποιεῖν.
ε) ἐξεργάσατο, κατεπολεμήθη
ζ) τοῖς πολεμίοις συνέγνωσαν.

Μελέτημα 42

α) πρόφασιν, προῄσθετο
β) μετὰ τὸν πόλεμον, οἱ Ἀθηναῖοι πάντας τοὺς φυγάδας ὑπέλαβον.
γ) ἐξέπεσε, συλλογήν
δ) πολλοὺς στρατιώτας συλλέξας, ἀπῆλθεν.
ε) φρούραρχοι, κατήγαγον
ζ) πολλοὺς στρατιώτας ἀθροίσαντες, ἀφέστησαν.

Μελέτημα 43

α) φορτηγοὺς, σπάνεως
β) πέντε ἡμερῶν τὴν πορείαν ἐτέλεσεν.
γ) ἀπεστάλη, πιέσων
δ) τὸ ὕδωρ ἐπιλείπει, δεῖ ἡμᾶς ναῦν ὕδατος γέμουσαν πέμψαι.
ε) ἀνέχθησαν
ζ) ἡ σύνεσις αὐτοῦ τὴν ἔνδειαν ἐκώλυσεν.

## Μελέτημα 44

α) ἄπειρος, ἀπολογεῖσθαι
β) ὑπόμνησιν ποιοῦ αὐτῷ τούτου, ὅτι τοῦτο τὸ πρᾶγμα βραδέως βουλευτέον ἐστίν.
γ) παριτητέον
δ) οὐδεμίαν μὲν ἐξήγησιν ἐποίησεν, ταῦτα δὲ ἐνεκάλεσεν.
ε) ἐγκλήματα, ἐσήμηναν
ζ) τοῦτο τὸ βούλευμα ὡς βραδύτατα σκεπτέον ἐστίν.

## Μελέτημα 45

α) ᾠήθησαν, ἐκπεσεῖν
β) πρὸ τῆς μητρὸς ἀληθὴς Ἀθηναῖος ἦν.
γ) δὶς, ἐστασίασαν
δ) δεῖ σε σκέπτεσθαι ὡς βδελυρός ἐστιν.
ε) ὑπάρχουσι
ζ) ἐνδείξω αὐτὸν χρήματα δανείσαντα.

## Μελέτημα 46

α) φῶρες, ἀνόσια
β) αὐτῷ νύκτωρ επέτυχον.
γ) κλοπῆς
δ) καίπερ τοῦτο ποιήσαντα καθαρὸν νομίζουσιν.
ε) λωποδύται, ἐβοήθησαν
ζ) πολλοὺς αἰχμαλώτους νηποινὶ ἀπέκτεινεν.

## Μελέτημα 47

α) προσέβαλον, πανδημεί
β) αὐτὸν ἔψεξαν ἅτε πάντα τὰ χρήματα ἀναλώσαντα.
γ) ὁμόρους
δ) οὐ μέλλω τοῦτο ἀνέξειν.
ε) δειπνοποιούμενοι, ἐξέχεαν
ζ) ἐν ᾧ διέτριβον, οἰκίας τινὰς καταλειφθείσας κατέκαυσαν.

## Μελέτημα 48

α) παραδόξως, συνετός
β) ἐπεφάνη εἰς καιρὸν τῷ τὴν πρὸς τὴν πόλιν ἐπίθεσιν κωλύειν.
γ) ἀπέδειξα

δ) ἡ τῆς πόλεως ἅλωσις συντόμως ἐγένετο.
ε) κατεπλάγην, ἐπινοίᾳ
ζ) τὸ βούλευμα προυδηλώθη.

Μελέτημα 49

α) παρεκολούθησε
β) ᾔδει τοῦτο ὑπερφυὲς προβούλευμα ὄν.
γ) ἤρετο, ηὗρεν
δ) εἰσῄει μοι αὐτὸν προκαλεῖν.
ε) ἀντεῖπον, πεισομένους
ζ) ἀεὶ τούτων τῶν ἀδικημάτων ἐφθόνουν.

Μελέτημα 50

α) εἰδότες, τὸ διάφραγμα
β) νεύματι ἐχρήσατο, ὁ δὲ εἰς τὴν καλύβην εἰσῆλθεν.
γ) αὐτήκοος
δ) εἰς τὸ ἱερὸν εἰσῆλθον ὡς ἱκεταὶ ἵνα τὴν σύλληψιν φύγοιεν.
ε) προφάσει, εὔνοιαν
ζ) ἐσκηνήσαντο ἐκεῖ, παρὰ τῷ ἕρκει.

Μελέτημα 51

α) ὑπομένειν, ταλαιπωρίας
β) ἐν ταύτῃ τῇ πόλει κατοικίσας, ἠσθένησεν.
γ) ἔχεις
δ) διὰ τῆς πόλεως περίεισιν.
ε) σαφές, συγγενεῖς
ζ) τῆς μὲν μάχης μετέσχον, ἀπέλιπον δὲ θάτερον.

Μελέτημα 52

α) ἐφιδεῖν
β) οἱ θεοὶ τὴν ἰσχὺν ἀπ᾽ αὐτοῦ ἀφεῖλον.
γ) εὐεξίαν, σύμμετρος
δ) τῆς ἀρξῆς ἰσχυούσης, ἡ τούτου τοῦ βασιλέως πλεονεξία αὐξάνεται.
ε) ὦτα
ζ) νῦν ἐκεῖνον τὸν μῦθον ἐπέξειμι, παγχάλεπον ὄντα.

Μελέτημα 53

α) περιφέρομαι
β) ἀεὶ φλυαρεῖ καὶ πρὸς ἐμὲ διαβολὰς βάλλει.
γ) ἀντωμοσίας, πέρι
δ) μανθάνων περιεργάζεται.
ε) κρείττονες, ἥττονες
ζ) τὸν Σωκράτη διαβάλλει, ὁ δὲ ἀπολογεῖσθαι ἐπαΐει.

Μελέτημα 54

α) θεσπίζειν
β) ἐνθάδε ᾤκει ἄχρι τοῦ ἀμήτου χρόνου.
γ) ἐνθέους, ἐξενήνοχα
δ) οἱ θεοὶ τοῦτον τὸν ποιητὴν τὸν τοῦ χάους χρόνον κλείειν ἐκέλευσαν.
ε) θεσπέσια
ζ) αὕτη ἡ γύνη πολλὰς παραινέσεις ἐν βίβλῳ τινὶ ἐντελεῖ ἔγραψεν.

Μελέτημα 55

α) προσεκόμισαν
β) τῇ ἑαυτῆς ἁμάξῃ ὠχήσατο ἵνα τὸ τῶν πολεμίων στῖφος ἴδοι.
γ) μηρὸν, ἔπαισα
δ) τοὺς πολεμίους ἰδόντες, οἱ ἡμέτεροι στρατιῶται ἐξέκλιναν.
ε) μεταδιώξαντες, ὠρύξαμεν
ζ) χαμαὶ καθήμενοι, πρὸς αὐτὴν ἐπὶ τῆς ἁμάξης ἑστηκυῖαν ἐβλέπομεν.

Μελέτημα 56

α) ὦπται
β) μικροῦ δέω αὐτοὺς πάντας νικᾶν, ἀλλὰ σοί γε οὐκ ἔνεστί με νικᾶν.
γ) συγγνώμης, συμφέρει
δ) πάντα τὰ προειρημένα ἀληθῆ ἐστιν.
ε) ἄκων, ἀπειρίας
ζ) καίπερ ἰδιώτης ὤν, πάντα ποιεῖν δύναμαι πλὴν τούτου.

Μελέτημα 57

α) ἐλάττων
β) ἡ θάλαττα τὴν νῆσον ἀπὸ τῆς ἠπείρου διείργει.
γ) ἔθνη, κατεστρέψαντο

δ) εἴρημαι ὅτι αὕτη ἡ πόλις ὑποδεεστέρα ἐστὶ ἐκείνης.
ε) ὁλκάδας, ἀρκήσει
ζ) νομίζω δεῖν σε τοῦτον τὸν πόλεμον ἀναιρεῖν.

Μελέτημα 58

α) προσήκοντα
β) δεῖ με συχνὰς λειτουργίας πράττειν, πλείονας ἤ σε.
γ) ἀποδημεῖ
δ) οἱ ἐπιτήδειοι αὐτοῦ μεγάλην οὐσίαν ἔχουσιν.
ε) ἀναχωρήσεως, ἰάσατο
ζ) ἐδέησεν αὐτὸν ἀεὶ κάμνοντα τοῦ ἐργάζεσθαι ἀφίστασθαι.

Μελέτημα 59

α) ἧτταν, περιορᾶν
β) ἀεὶ χρημάτων ἀμφισβητοῦσιν.
γ) ἐπιμέλειαν, ἧττον
δ) τηλικαῦτα δυστυχήματα ἡλίκα σὺ οὐκ ἐπάθομεν.
ε) λέληθε, αἴσχιον
ζ) ὁ Ξέρξης πάντας τοὺς πολίτας κατεδούλωσεν.

Μελέτημα 60

α) μαντεῖα, εὐέλεγκτα
β) ἀεὶ περὶ πλείστου ποιοῦμαι τὰ ἐνύπνια.
γ) τὰ δημόσια
δ) εἰ τοσαῦτα δυστυχήματα ἐπεπόνθει, ἔδει αὐτὸν περὶ τούτου μοι λέγειν.
ε) προσέταξαν, διαγίγνεσθαι
ζ) οὐδεὶς τῶν προσηκόντων ἀηδές τι ἐποίησεν.

Μελέτημα 61

α) σέβας, κράτος
β) χαλεπὴ κρίσις ἐστίν, ᾧτινι τὸ γέρας δίδομεν.
γ) προσχήματος
δ) ὁ κῆρυξ μόνον παῦρα προεκήρυξεν.
ε) τέρμα, κλεινῇ
ζ) αὐτὸν ἐκέλευσα τοὺς δύο στρατοὺς ἰσοῦν.

Μελέτημα 62

α) ἐπιστατεῖν
β) οὗτος ὁ ὀψοποιός τὴν τοῦ ζωμοῦ ἀρίστην σκευασίαν γιγνώσκει.
γ) ἡλικίαν
δ) ἀεὶ κρέως δράσσω, ἀρέσκει γάρ μοι.
ε) γείτονες, ἕψουσιν
ζ) ἀεὶ ἅλα ἐπὶ τοῦ ὄψου σκεδάννυμι.

Μελέτημα 63

α) ᾖθον
β) ἔκλυον αὐτὸν τὸ ἔγχος λαμβάνοντα.
γ) ὑμνοῦμεν, ἄμφηκες
δ) ὁ ἡμέτερος κοινωνὸς εὐθὺς ἐσσεύατο-ἐσσύθη.
ε) ἐπιπλήττοντι, βαιά
ζ) αὔριον λήξω.

Μελέτημα 64

α) ῥίζα, χάρακα
β) τὰ ἤθη αὐτοῦ ἀνεπίληπτα δὴ ἦν.
γ) ἐμμελής, παρέπηξεν
δ) οὗτοι οἱ νεανίαι ἀδιάβλητοι ἔβλαστον.
ε) ὑποθήκας
ζ) οἱ νόμιμοι πολῖται ἄριστοί εἰσιν.

Μελέτημα 65

α) εὔροιαν, ἀθεεί
β) τῷ βλέμματι ῥᾳδίως ἐξῆν ἰδεῖν αὐτὸν δαιμονῶντα.
γ) ἔκπληξιν
δ) τὸ γύναιον καλὸν μειδίαμα ἔδειξεν.
ε) εἴρωνα, ὥραν
ζ) ἐπεὶ ὁ ῥήτωρ τοῦ λόγου ἐπαύσατο, οἱ ἀκούοντες ἀνεβόησαν.

Μελέτημα 66

α) ἐνθένδε
β) οὐ πάντες ἐβουλήθησαν ἐκείνην τὴν ἀξιόχρεων σύμβασιν ὑπογράφεσθαι.
γ) ἐπάξει

δ) οἶδά σε ἐν ταύτῃ τῇ ἐπιχειρήσει σφαλούμενον.
ε) συμφοράν, ὑπολιπεῖν
ζ) ἐπεὶ οἱ Λακεδαιμόνιοι τὴν ὁμολογίαν ἐδέξαντο, ἐξῆν τοῖς Ἀθηναίοις ἡσυχάζειν.

Μελέτημα 67

α) ἱκέτευσε, ἀστρατείαν
β) οἱ θεσμοθέται αὐτοὺς ἠντιβόλησαν τοὺς αἰχμαλώτους μὴ ἀποκτεῖναι.
γ) ἐψηφίσαντο
δ) ὁ παῖς, ἐπίκληρος γενόμενος, περὶ τὰ ποιητέα ἐνεθύμει.
ε) προθυμίαν
ζ) τοὺς μαθητὰς παρεκελευσάμην τὴν δοκιμασίαν ποιεῖν.

Μελέτημα 68

α) καινοτομοῦντες, ἀφετέοι
β) οὗτος ὁ ἄνθρωπος τὸν ἑαυτοῦ πατέρα διωκάθειν βούλεται.
γ) ἀγνοίαν, ἀπεδειλίων
δ) τὸν ἱερέα αἰσχύνομαι, οὐδὲν γὰρ περὶ τὰ ὅσια οἶδα.
ε) αὐτοσχεδιάζειν
ζ) οὗτοι οἱ θῆτες παρακινδυνεύσουσι μὴ ὑπὸ τῶν πολεμίων ἀποθάνωσιν.

Μελέτημα 69

α) εὐνομίας, ἐξήλασαν
β) τὰ προειργασμένα αὐτὸν ἐκώλυσε στρατηγὸν γενέσθαι.
γ) συνέστησαν, ἄντικρυς
δ) πάντες οἱ ὑπήκοοι τῷ τῶν στρατιωτῶν προισταμένῳ ἐπίθοντο.
ε) προετίμησαν, ἀνεπιτηδείους
ζ) μὴ πιστεύετε τούτῳ τῷ ἀνδρί, ἅτε ὑπούλῳ ὄντι.

Μελέτημα 70

α) κυάμοις
β) ἡ δικαίωσις μεθεκτέα πᾶσίν ἐστιν.
γ) προσκέπτεσθαι, ῥηθήσεται
δ) τοῦτο ἐκ τοῦ φανεροῦ ἔπραξεν.
ε) τὸ συνεστηκός, μεταστῆσαι
ζ) πολλοὺς ἀνθρώπους ἐμισθοφόρησα ἵνα τὴν ζήτησιν συμπράττοιεν.

## Κατάλογος συγγραφέων

1/ Lucian
2/ Plato
3/ Lysias
4/ Plato
5/ Demosthenes
6/ Gorgias
7/ Plato
8/ Thucydides
9/ Antiphon
10/ Lysias
11/ Apollodorus
12/ Antiphon
13/ Thucydides
14/ Lysias
15/ Lucian
16/ Demosthenes
17/ Appian
18/ Andocides
19/ Isocrates
20/ Dio Chrysostom
21/ Xenophon
22/ Apollodorus
23/ Lucian
24/ Dio Chrysostom
25/ Xenophon
26/ Thucydides
27/ Apollodorus
28/ Plato
29/ Demosthenes
30/ Thucydides
31/ Xenophon
32/ Diodorus of Sicily
33/ Apollodorus
34/ Thucydides
35/ Isocrates
36/ Plato
37/ Andocides
38/ Dio Chrysostom
39/ Thucydides
40/ Apollodorus
41/ Appian
42/ Xenophon
43/ Diodorus of Sicily
44/ Thucydides
45/ Demosthenes
46/ Plato
47/ Xenophon
48/ Diodorus of Sicily
49/ Demosthenes
50/ Thucydides
51/ Isocrates
52/ Dio Chrysostom
53/ Plato
54/ Lucian
55/ Xenophon
56/ Demosthenes
57/ Thucydides
58/ Dio Chrysostom
59/ Isocrates
60/ Plato
61/ Sophocles
62/ Plato
63/ Sophocles
64/ Plutarch
65/ Philostratus
66/ Thucydides
67/ Lysias
68/ Plato
69/ Thucydides
70/ Thucydides

## Λεξικόν

ἀγανακτέω 22
ἀγνοία 68
ἀγριόω 11
ἄδεια 18
ἀδελφιδός 14
ἀδιάβλητος 64
ἄδοξος 35
ἀηδής 60
ἀθεεί 65
ἄθλιος 10
ἀθροίζω 42
ἀίδιος 13
αἴθω 63
αἱρέω 9, 37
αἰσθάνομαι 26
αἰσχίων 59
αἰσχύνομαι 68
ἀκαταγώνιστος 22
ἀκμάζω 30
ἀκοντίζω 22
ἄκριτος 10
ἄκων 56
ἁλίσκομαι 39
ἀλλόφυλος 39
ἅλς 62
ἅλωσις 48
ἀμαθία 28
ἀμελέω 24
ἄμητος 54
ἀμύητος 18
ἀμφήκης 63
ἀμφισβητέω 59
ἀναβοάω 65
ἀνάγομαι 43
ἀναδίδωμι 11
ἀναδύομαι 5, 27
ἀναιρέω 57
ἀνακαλέω 32
ἀναλίσκω 47
ἀνανεύω 28
ἀναπειράομαι 34
ἀναπτερόω 38
ἀναπτύσσω 25
ἄναυδος 1
ἀναχωρέω 40
ἀναχώρησις 58
ἀνεπίληπτος 64
ἀνεπιτήδειος 69
ἀνέψιος 3
ἀνέχω 47
ἀνήκεστος 41
ἀνίημι 34
ἀνοίγνυμι 4
ἀνόσιος 46
ἀντιβολέω 67
ἄντικρυς 69
ἀντιλαμβάνομαι 36
ἀντιλέγω 18, 49
ἀντίπαλος 29
ἀντιτολμάω 13
ἀντωμοσία 53
ἀνυπέρβλητος 22
ἀξιόχρεως 66
ἀξιόω 12, 23
ἀπαλλάττω 25, 33
ἀπαντάω 30
ἀπαυθαδίζομαι 7
ἀπειρία 56
ἄπειρος 44
ἀποβάλλω 9
ἀποδείκνυμι 48
ἀποδειλιάω 68
ἀποδημέω 58
ἀποθλίβω 23
ἀπόκλῃσις 26
ἀπολαμβάνω 26, 34
ἀπόλλυμαι 33
ἀπολογέομαι 44
ἀπολύω 9
ἀπομαραίνομαι 2
ἀπόπειρα 13
ἀπορέω 15, 21
ἀποστέλλω 43
ἄπροικος 14
ἅπτω 22
ἀραιῶς 20
ἀριστάω 16
ἀριστίνδην 37
ἀρκέω 57
ἁρμάμαξα 55

ἄρνυμαι 18
ἀρχαιρέσια 17
ἀσθενέω 51
ἀσθενής 26
ἀσπάζομαι 2
ἀστικόν 17
ἀστρατεία 67
ἀσφαλής 29
ἀτυχέω 35
αὐτήκοος 50
αὐτοσχεδιάζω 68
αὐτοῦ 34
ἀφαιρέω 52
ἀφετέος 68
ἀφίημι 12
ἀφίσταμαι 42, 58
ἄχρι 54
βαιός 63
βάσις 22, 33
βδελυρός 45
βιάζω 6
βλαστάνω 64
βλέμμα 65
βοηθέω 46
βότρυς 23
βουκόλιον 11
βουλευτέον 44
βρέφος 33
γείτων 62
γέμω 43
γέρας 61
γήλοφος 31
γνώμη 8
γοητεύω 38
γύναιον 65
δαιμονάω 65
δανείζω 45
δαπάνη 5
δέδια 27
δείδω 25, 36, 39
δειπνοποιέομαι 47
δέομαι 7, 37
δέω 56
δημηγορέω 28
δημιουργός 38
δημόσιος 60
διαβάλλω 53
διαβολή 53
διαγίγνομαι 60
διάγω 15, 16
διαιρέω 17
διακομίζω 11, 37
διακονέω 15
διακρίνομαι 17
διαλανθάνω 19
διαμαρτάνω 24
διάνοια 26
διαπορθμεύω 11
διαπράττω 29
διαπτοέω 36
διαρπάζω 36
διατείχισμα 26
διατίθημι 41
διατελέω 16
διατρίβω 47
διαφέρομαι 17
διαφορά 37
διάφραγμα 50
διείργω 57
διέρχομαι 19
δικαίωσις 70
διομολογέω 28
διοχετεύω 1
δίς 45
διωκάθω 68
δοκιμασία 67
δράσσω 62
δράω 6, 46
δρῦς 22
δυσπειστός 38
δυσπόρευτος 31
δυστυχέω 6
δυσχωρία 32
ἔαρ 13
ἐγείρω 4
ἐγκαλέω 44
ἔγκλημα 44
ἐγχειρίζω 27
ἔγχος 63
ἔθνος 57
ἔθω 16
εἰδῆτε 21
εἰδώς 21, 50
εἰκός 1
εἰκότως 3
εἴρημαι 57

εἰρημένος 20
εἴρων 65
εἰσβολή 30
εἴσειμι 49
εἰσκομίζω 8
ἑκασταχόθεν 13
ἐκκλίνω 55
ἐκπίπτω 42, 45
ἔκπληξις 65
ἔκπλους 34
ἐκτρέφω 10
ἐκφέρω 54
ἐκχέω 32, 47
ἑκών 5
ἐλάττων 14, 57
ἐλέγχω 10
ἐλεέω 6
ἕλκω 28
ἐμμελής 64
ἐνάλιος 1
ἐνάργεια 38
ἐνδεής 39
ἔνδεια 43
ἐνδείκνυμι 45
ἐνεδρεύω 40
ἐνεσθίω 23
ἔνεστι 56
ἐνθένδε 66
ἔνθεος 54
ἐνθυμέομαι 67
ἔνοχος 12
ἐνστρατοπεδεύω 30
ἐντείνω 37
ἐντελής 54
ἐνύπνιον 60
ἔξαρνος 18
ἐξελαύνω 69
ἐξεργάζομαι 41
ἐξετάζω 19
ἐξήγησις 44
ἕξις 20
ἐξορμέω 18
ἐπαγγέλλομαι 27
ἐπάγομαι 66
ἐπαίρω 34
ἐπαΐω 53
ἐπείγω 4
ἐπεξέρχομαι 24, 52
ἐπεπόνθειν 60
ἐπιβουλεύω 34
ἐπιβουλή 9
ἐπιγιγνώσκω 40
ἐπιδίδωμι 20
ἐπίδοξος 9
ἐπίθεσις 48
ἐπιθυμία 2
ἐπίκληρος 67
ἐπιλείπω 23, 24, 43
ἐπιμέλεια 59
ἐπίνοια 48
ἐπιπίπτω 35
ἐπιπλήττω 63
ἐπιρρέω 32
ἐπιστατέω 62
ἐπιτάττω 11
ἐπιτήδειος 26, 30, 58
ἐπιτίθεμαι 9
ἐπιτυγχάνω 46
ἐπιφαίνομαι 48
ἐπιφανής 41
ἐπιφέρομαι 14
ἐπιχειρέω 6, 13, 35
ἐπιχείρημα 6
ἐπιχείρησις 66
ἐπιών 17
ἐπῳδή 15
ἐρυθριάω 28
εὐδαιμονίζω 21
εὐέλεγκτος 60
εὐεργέτης 7
εὐεξία 52
εὐηθίζω 36
εὔνοια 50
εὐνομία 69
εὑρίσκω 49
εὔροια 65
εὐταξία 31
εὐώνυμος 25
ἐφεξῆς 19
ἐφίσταμαι 1
ἐφοράω 24, 52
ἔχθρα 3
ἐχθρός 5
ἔχω 28, 51
ἕψω 62
ζεῦγος 7

ζημία 6
ζήτησις 70
ζωμός 62
ἡγέομαι 14
ᾔδειν 49
ἥδομαι 20
ἦθος 64
ἥκιστα 3
ἥκω 4, 37
ἡλικία 62
ἡλίκος 59
ἡνίκα 33
ἤπειρος 57
ἠπειρώτης 13
ἠρόμην 49
ἡσθέντες 1
ἡσυχάζω 66
ἧττα 59
ἧττον 59
ἥττων 53
θαμίζω 2
θάπτω 10
θαρρύνω 21
θάτερον 51
θεραπεύω 29
θεσμοθέτης 67
θεσπέσιος 54
θεσπίζω 54
θής 68
ἰάομαι 58
ἰδίᾳ 14
ἰδιώτης 56
ἱδρώς 28
ἱκανός 9
ἱκετεύω 67
ἱκέτης 50
ἰσθμιάς 40
ἰσόω 61
ἰσχυρός 5
ἰσχύς 52
ἰσχύω 52
καθαρεύω 41
καθαρός 12, 46
καθίημι 22
καθίστημι 39
καθοπλίζω 27
καινοτομέω 68
κακολογέω 6
καλύβη 50
κάμνω 58
κάνδυς 31
καταβιβρώσκω 33
καταγιγνώσκω 34
κατάγω 42
καταγώγιον 15
καταδουλόω 59
κατάζευσις 27
καταθύω 11
κατακαίω 47
καταλαμβάνω 32
καταλύω 29
κατανεύω 28
καταπλήττομαι 48
καταπολεμέω 41
κατασιωπάω 19
κατασκευή 19
κατάσκοπος 8
καταστρέφω 57
κατατοξεύω 23
κατεργάζομαι 13
κατοικέω 19
κατοικίζω 51
κέκτημαι 21
κηδεστής 3, 14
κλεινός 61
κλείω 54
κληρόομαι 17
κλοπή 46
κλύω 63
κοινωνός 63
κόρηθρον 15
κράτος 61
κρέας 62
κρείττων 21, 37, 53
Κρής 11
κρίσις 61
κρούω 4
κρύφα 27
κύαμος 70
κῶλον 33
λεηλατέω 32
λειτουργία 58
λέληθα 59
λήγω 63
λογίζομαι 5
λυσιτελέω 5

λωποδύτης 46
μαντεῖον 60
μεθεκτέος 70
μεθίσταμαι 18
μεθίστημι 70
μειδίαμα 65
μεῖον 25
μειράκιον 18
μεταδιώκω 55
μετέχω 51
μέχρι(ς) 38
μηκύνω 39
μηνύω 9
μηρός 55
μίμημα 38
μισέω 3
μισθοφορέω 70
μόγις 28
μοχλός 15
ναυκρατέω 26
νεότης 30
νεῦμα 50
νεωτερίζω 39
νεωτεροποιία 39
νηποινί 46
νόμιμος 64
νύκτωρ 46
οἰκέτης, -ου 15
οἴομαι 45
οἴχομαι 18
ὁλκάς 57
ὁμολογία 66
ὅμορος 47
ὁμοῦ 25
ὄρθρος 4
ὁρκόω 17
ὁρμάω 30, 36
ὀρύττω 55
ὀρφανίζω 6
ὅσιος 68
ὅσον 23
οὔπω 30
οὖς 52
οὐσία 58
ὀχέω 33, 55
ὄψομαι 29
ὄψον 62
ὄψις 22, 38
παγχάλεπος 52
παίω 55
πανδημεί 47
πανταχοῦ 19
πάππος 10
παραγίγνομαι 11
παραδόξως 48
παραίνεσις 54
παρακαλέω 35
παρακεῖμαι 24
παρακελεύομαι 67
παρακέλευσις 7
παρακινδυνεύω 68
παράκλησις 35
παρακολουθέω 49
παραλογίζομαι 38
παραπήγνυμι 64
παραπλήσιος 1, 7
παρατάττω 32
παρελθών 4
πάρεστι 14
παριτητέον 44
παροινέω 16
παῦρος 61
πείσομαι 49
πέλαγος 23
περαίνω 10
πέρι 53
περίειμι 51
περιεργάζομαι 53
περιοράω 30, 59
περιπέμπω 8
περιπόλιον 8
περιπτύσσω 25
περιφέρομαι 53
πηγή 1
πηλός 31
πιέζω 43
πλάσμα 20
πλεῖστος 60
πλεονεξία 52
πλῆθος 3
πλήν 56
πληρόω 13
ποιέομαι 25
πολιτεύομαι 19
πολλαπλάσιοι 21
πολλαχόθεν 8

πραγματεία 5
πρανής 31
πρασιά 1
προαισθάνομαι 42
προβούλευμα 29
προγράφω 16
προδηλόω 48
προειρημένος 56
προεργάζομαι 69
προθυμία 67
προῖξ 14
προίσταμαι 69
προκαλέω 49
προοῖδα 5
προπάσχω 9
πρόπλους 8
πρός 45
προσάγω 25
προσβάλλω 47
προσδέομαι 39
προσήκει 3
προσήκων 58, 60
προσκέπτομαι 70
προσκηρύττω 61
προσκομίζω 55
πρόσκρουμα 16
προσλαμβάνω 21, 24
προσμένω 8
προσποιέομαι 17
προστάττω 60
προστίθημι 41
προσφέρω 8
πρόσχημα 61
προτέρα 34
προτερέω 32
προτιμάω 69
πρόφασις 42, 50
πρῴην 4
πυκνός 2
πυνθάνομαι 2
ῥηθήσομαι 70
ῥίζα 64
σαφής 51
σέβας 61
σεύομαι 63
σημαίνω 44
σιτέω 7
σίτησις 7
σκεπτέον 44
σκέπτομαι 45
σκευασία 62
σκεῦος 26
σκηνέομαι 50
σκηνόω 16
σπάνις 12, 43
σπείρω 27
σπουδή 1
στασιάζω 45
στενοχωρία 31
στερέω 10, 24
στῖφος 55
στόμα 32
στρατηγίς 18
συγγενής 51
συγγιγνώσκω 41
συγγνώμη 56
συγκαταβαίνω 32
συγχέω 12
συλλαμβάνω 20
συλλέγω 42
σύλληψις 10, 50
συλλογή 42
συμβαίνω 16, 40, 29
συμβάλλω 38
σύμβασις 66
συμβουλεύω 21, 35
σύμμετρος 52
συμπήγνυμι 23
συμπίπτει 35
συμφέρει 56
συμφορά 66
συμφυής 40
συναθροίζω 40
συναναπείθω 13
σύνειμι 2
συνεκβιβάζω 31
συνεπισπεύδω 31
συνεργέω 27
σύνεσις 43
συνετός 48
συνθύτης 40
συνίσταμαι 69, 70
συνορίς 7
συντόμως 48
συντυγχάνω 25
συστρέφω 36

συχνός 58
σφάλλομαι 66
σφέτερος 37
σφρόδρα 2, 4
σχεδόν 19
σχολαίως 31
σχολικός 20
ταλαιπωρία 51
ταπεινός 35
τελέω 40, 43
τελευτάω 29
τέμνω 30
τέρμα 61
τηλικοῦτος 59
τηνικάδε 4
τηνικαῦτα 33
τιμωρέω 3
τραχύς 2
τρέπομαι 34
τροφεύς 12
τροφή 7
τυγχάνω 6
τυρός 23
τῳ 5
ὑμνέω 63
ὑπαγορεύω 20
ὑπάγω 41
ὑπάρχω 3, 33, 24, 45
ὕπατος 17
ὑπεραρέσκω 41
ὑπερβάλλω 40
ὕπερον 15
ὑπερφυής 49
ὑπέρχομαι 29
ὑπήκοος 69
ὑπηρετέω 15
ὑποβάλλω 20
ὑποδεής 57
ὑποθήκη 64
ὑποκατακλίνομαι 36
ὑπολαμβάνω 42
ὑπολείπω 66
ὑπόλοιπος 10
ὑπομένω 51
ὑπόμνησις 44
ὕπουλος 69
ὑποψία 9, 39
φαίνομαι 11
φανερός 70
φθέγγομαι 36
φθονέω 49
φιλότης 37
φλυαρέω 53
φλυαρία 36
φοιτάω 2
φολίς 22
φονικός 12
φορτηγός 43
φρονέω 35
φρουρά 8, 16
φρούραρχος 42
φρουρέω 26
φῦλον 12
φύω 12
φώρ 46
χαμαί 55
χάος 54
χάραξ 64
χράω 24
χρηστός 14
χρίζω 27
ψέγω 47
ψηφίζομαι 67
ὦπται 56
ὥρα 65